»***Ἡ Βιζύη ἔχει μακρὰν ἱστορίαν καὶ δύναται μάλιστα νὰ ἐγκαυχηθῇ ἐπ' αὐτῇ,*** καθ' ὅτι οὐχὶ πάμπαν αὕτη ἄσημος. Ὅπως γηράσασά τις κόρη, ἂν καὶ τὰ πολυπληθῆ ἀλληλοδιαδόχως ἀπελθόντα ἔτη ἀφῄρεσαν ἀπ' αὐτῆς καὶ ἀνὰ ἓν θέλγητρον, διατηρεῖ ἐν τούτῳ προφανῆ ἴχνη τῆς ἀκτινοβολούσης ἄλλοτε αὐτῆς ὡραιότητος, οὕτω καὶ ἡ Βιζύη. ὅπως δὲ φιλάρεσκός τις γραῖα φέρει ἔτι τινὰ τῶν νεανικῶν αὐτῆς κοσμημάτων, ἅτινα, ἀντὶ νὰ παρέχωσιν, ἐδανείζοντο ἴσως κομψότητα καὶ χάριν ἐκ τῆς εὐειδοῦς αὐτῆς μορφῆς καὶ τοῦ καλλιπλάστου σώματος, οὕτω καὶ ἡ Βιζύη διατηρεῖ ἔτι πολλά, τὰ μαρτυροῦντα ἐπαρκῶς τὸ πάλαι αὐτῆς μεγαλεῖον καὶ τὴν λαμπρότητα. Ἐκ τῆς πρώτης αὐτῆς νεότητος σώζονται ἔτι καὶ βάσεις τοῦ περι-

κλείοντος αὐτὴν τείχους, ἐξ ὀγκωδῶν καὶ ἀσυγκολλήτων ἀποτελουμένου λίθων καὶ ὑπεμφαίνοντος τέχνην μεταξὺ κειμένην τῆς παλαιτάτης ἐκείνης κυκλωπείου καὶ τῆς τῶν κλασικῶν χρόνων. ***Καθ' ἑκάστην καὶ πολλαχοῦ ἀνασκαπτόμενον τὸ ἔδαφος προάγει εἰς φῶς μεγάλους ὄγκους μαρμάρου καὶ κίονας ἐν οἷς καὶ κορινθιακοῦ ῥυθμοῦ, μαρτυροῦντας τὴν ὕπαρξιν ἄλλοτε καλλικτίστων δημοσίων οἰκοδομημάτων.*** Οἱ ὑπερτριάκοντα ἰδίᾳ ἀνὰ τὴν πεδιάδα ἐγκατεσπαρμένοι ***τεχνητοὶ λοφίσκοι, οἱ τύμβοι ἢ tumuli τῶν ἀρχαίων*** καὶ νῦν τεπέδες, οἱ σχηματισθέντες ἐκ τῆς ἐπισωρεύσεως χώματος ἐπὶ τῶν τάφων ἐπιφανῶν ἀνδρῶν, ἀρκούντως ἐνδεικνῦσι τὸ μεγαλεῖον τῆς ἀρχαιοτάτης πρωτευούσης τοῦ τῶν Ἀστῶν βασιλείου.(¹) Τὰ πολυπληθῆ καθ' ἑκάστην ἀνευρισκόμενα νομίσματα, ἐν οἷς ὡς σύμβολον τῆς χώρας φέρεται νεᾶνις σταχυοφοροῦσα, εἶναι μαρτύρια πλούτου καὶ εὐημερίας τῶν ἐν Βιζύῃ τότε κατοικούντων. Ἐκ τῶν βυζαντιακῶν χρόνων περιλείπονται ἐν ἐρειπίοις δύο πύργοι, δυνάμενοι καὶ οὕτω νὰ καταπείσωσι τὸν παρατηρητὴν ὁπόσον ὀχυρὸν καὶ ἐρυμνὸν ἦν τότε τὸ τῆς πόλεως φρούριον. Ἐκ τῶν ἀκαταβλήτων ἐκείνων ὑπὸ πάσης ἐπηρείας καὶ αἰωνοβίων ὑπαρχόντων δημοσίων ἱδρυμάτων τῶν Ῥωμαίων καὶ τῶν Βυζαντίων ἔχομεν ***μεγαλοφωνότατα δείγματα*** τοὺς ὑδραγωγοὺς τῆς πόλεως καὶ τὴν ὀλίγον πέραν αὐτῆς τριάψιδον γέφυραν, τὴν νῦν Δόμνα-κιοπρουσῆ. Ἀλλὰ ***περιφανὴς κόσμος καὶ ἐνθύμιον διαρκὲς ἀπὸ τῶν Βυζαντίνων ἐναπολειφθὲν τῇ Βιζύῃ εἶναι τὸ τῆς ἁγίας Σοφίας τζαμίον, οὗ τὴν κτίσιν μέχρι τοῦ δεκάτου αἰῶνος*** δύναταί τις, ἵνα ἀναγάγῃ. Αἱ ὄπισθεν τῆς Βιζύης φαραγγώδεις, δύσβατοι καὶ βαθυλήιοι δάσεις φαίνεται ἐγκαίρως ἤδη ἐφείλκυσαν τὴν προσοχὴν τῶν τῇ τύρβῃ τοῦ κόσμου ἀποταξαμένων καὶ τὸν θεωρητικὸν προελομένων βίον. πολλαχοῦ ἐπὶ τοῦ βράχου βλέπει ὁ ἐπισκεπτόμενος τὰ μέρη καλογήρων κελλία καὶ μοναχικὰ ἐκκλησίδια, ἅτινα νῦν πολλαχοῦ παρέχουσι στέγην καὶ καταφύγιον εἰς ἄλογα πρόβατα».

Θέλομεν νὰ ἐπισφραγίσωμεν τὴν παρέκβασιν ταύτην διὰ τοῦ ὑψηλοῦ Βιζυηνοῦ ποιητοῦ Γεωργίου. ὅστις ὡς «ὄρνις θεῖος» ***προεφήτευσε τὸ πεπρωμένον τῆς πατρίδος του*** εἰπών :

Προανακρούω τῶν Μουσῶν τὴν ἱλαρὰν ἀνατολὴν
καὶ τὰς λαμπρὰς προϋπαντῶν τοῦ μέλλοντος ἡμέρας
ἐκλείπω πρὸ τῆς αἴγλης των μὲ σέβας καὶ μὲ συστολὴν»(²)

---

1. Ἀστῶν βασίλειον καὶ ἀνωτ. εἴδομεν οὕτω καὶ ἐδιωρθώσαμεν εἰς Ὀδρυσῶν. Βεβαίως ὅ τε Στράβων γράφει : «οἱ ἐκπίπτοντες ἀπὸ τῶν Ἀστῶν διαρπάζονται τῶν ὑπερκειμένων» (VII, 319) καὶ ὁ Στέφ. Βυζάντιος εἰς τὰ «Ἐθνικά» ἔχει «Ἀστῶν βασίλειον», ἀλλ' ἀλλαχόθεν εἶναι ἀμαρτύρητον.

2. «Ἀτθίδες αὖραι. Συλλογὴ ποιημάτων». Τρίτη δημώδης ἔκδοσις. Λονδίνον, 1884, ἐν ἀρχῇ.

Περιπαθῶς θρηνεῖ τὸ μοιραῖον τῆς ἑλληνίδος πόλεως διὰ τῆς ἀλληγορίας. «*Ἡ ἐπαῖτις τῆς Βιζύης*». εἶναι τὸ κύκνειον ᾆσμα.

«Τῆς Θράκης τὰ χωριὰ πολλὰ
σὰν τὴν Βιζὼ κανένα
μὲ γειτονιὰ στὰ χαμηλὰ
τοῦ Πλάτσα τήνε λένα.(1)
Στῆς Πλάτσας τὴν ἀγελαριὰ
μιὰ πέτρα, 'να κοτρῶνι·
δίπλα στὴν πέτρα μιὰ γρηὰ
τὴν φοῦχτα της ἁπλόνει...
Ἀνεμοζάλαις τὴν χτυποῦν,
φουρτούναις τήνε δέρνουν·
καὶ τὰ φακιόλια της ἁρποῦν
καὶ τὰ μαλιά της σέρνουν.
Μὰ σὰν τὴν πέτρ' αὐτὴ στεριὰ
δὲν σειέται, δὲν σαλεύει,
μόνο θλιμμένα καὶ βαριὰ
τὰ χείλη γαργαλεύει κτλ.(2)

Ἱστορία τῆς ἐπαρχίας Βιζύης καὶ Μηδείας ὑπὸ Σάββα Θ. Λακκίδου, 1874, σ. 145 (δὲν εἶδον τὸ βιβλίον). εἰς τὸ ἄρθρον περὶ Βιζύης τοῦ Γιάγκου ὁ κ. Μ. Σταμούλης ἐν Βιβλιογραφίᾳ, τόμ. Θρακ. Ζ' 1931 σ. XIII, ἔχει «Βυζαντιναὶ ἀναμνήσεις».

***Βίος*(3) *καὶ πολιτεία καὶ μερικὴ θαυμάτων διήγησις τῆς ἀειδήμου*(4) *καὶ μακαρίας Μαρίας τῆς νέας ἐν Βιζύῃ*.**(5) Εὐλόγησον πάτερ.

§ 1. Ἐπὶ μὲν τῶν ἔξωθεν ἀγώνων ἄνδρες μόνοι καλούμενοι ἀγωνίζονται, καὶ τὴν ἰσχὺν τοῦ σώματος ἐπιδείκνυνται τὸ δὲ τῆς ἀρετῆς πεδίον(6) οὐκ ἀνδρᾶσι μόνον, ἀλλὰ καὶ γυναιξὶν ἠνέῳκται καὶ ὁ ἀθλοθέτης Θεὸς κοινὰ(7) τὰ γέρα καὶ τοὺς στεφάνους ἑκατέρῳ τῷ γένει(8) φιλοτίμως ἀποχαρίζεται, καὶ οὔτε γένος, οὔτε τύχη. οὔτε σώματος ἀσθένεια, οὔτε βίου διαίρεσις, οὐκ ἄλλο οὐδὲν τοῖς βουλομένοις ἀγωνίζεσθαι κώλυμα γίνεται· οὐδὲ γάρ ἀνὴρ μὲν ἐνταῦθα παραλαμβάνεται, γυνὴ δὲ ἀφίεται. οὐδὲ δεσπότης μὲν καὶ πλούσιος ἄξιος τοῦ ἀγῶνος κρίνεται, γυνὴ δὲ ἀφίεται. δοῦλος δὲ καὶ πένης ἀπόβλητός ἐστιν καὶ ἀνάξιος. οὐδὲ ὁ μὲν τέλειος τὴν ἡλικίαν καὶ εἰς ἄνδρας ἤδη τελῶν ἐγκρίνεται, ὁ δὲ ἀτελὴς ἔτι καὶ νήπιος ἀποδοκιμάζεται. οὐδὲ τοὺς μὲν τὸν ἄζυγα βίον ἑλομένους ὁ ἀγωνοθέτης δέχεται, ἀλλὰ πᾶν γένος καὶ ἀξίωμα καὶ ἡλικίαν καὶ βίον ἤδη εἰς τὸν καλὸν τοῦτον ἀγῶνα κέκληται. «Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς, νεανίσκοι καὶ παρ-

1. Τὴν Ἑλένα;

2 σ 124. τὸ ποίημα ἐκτείνεται καὶ μὲ λυρισμὸν καὶ ἐλεγειακὴν περιπάθειαν ὁ ἀπαρηγόρητος ποιητὴς ἐξιστορεῖ τὰς ἀνεκδιηγήτους περιπετείας καὶ τὰς συμφορὰς καὶ τὸ μαρτυρικὸν αὐτῆς τέλος μέχρι σ. 129.

3. βεῖος 4. ἀειδήμου.

5. Ἀντεγράφη ἐκ κώδικος Λαύρας Κ 81 τοῦ ΙΔ' αἰῶνος.

6. παιδίον. 7. κεινά. 8. γένοι.

θένοι, πρεσβύτεροι μετὰ νεωτέρων». Οὕτω καὶ τὴν μακαρίαν Μαρίαν, τὸ θαῦμα τῆς καθ' ἡμᾶς γενεᾶς, ἣν ὁ λόγος ὑμῖν ὑπόθεσιν ἐνεστήσατο. Καὶ γυναῖκα οὖσαν καὶ ἀνδρὶ συζευχθεῖσαν(1), οὐδὲν οὐδαμοῦ διεκώλυσεν εὐδοκιμῆσαι παρὰ Θεῷ. οὐκ ἀσθένεια φύσεως. οὐ τὰ τοῦ γάμου δυσχερῆ· οὐ παιδοτροφίας ἀνάγκη καὶ μέριμνα. Ἀλλα ταῦτα μᾶλλον καὶ ἀφορμὴν αὔτη ἔσχεν εὐδοκιμήσεως. καὶ ματαιάζοντας ἔδειξε τοὺς προφάσεις πλάττοντας ἐν ἁμαρτίαις. Πρὸς τοὺς ταῦτά τε καὶ τὰ τοιαῦτα ἐμπόδιον πρὸς ἀρετὴν εἶναι λέγοντας καὶ νομίζοντας, ἄνωθεν [καὶ ἐξ ἀρχῆς] τὰ τῆς μακαρίας διηγητέον(2) ὡς οἷον τι.

§ 2. Εἶχε μὲν τὰ σκῆπτρα τῆς βασιλείας Βασίλειος, οὐχὶ ὁ τῆς πορφύρας βλαστός. ἀλλ' ὁ Μακεδών, ὁ ἐξ ἱπποκόμου βασιλεὺς καταστάς. Ὁ τὸν Μιχαὴλ ἐκεῖνον ἀποκτείνας(3), ἐφ' οὗ τὰ μὲν τῶν εἰκονομάχων ἐπαύθη φρυάγματα, τὰ δὲ τῆς ὀρθοδοξίας ἀναθάλλειν ἤρξατο δόγματα. ὃν Θεοφίλου μέν, τοῦ ὑστάτου ἐν εἰκονομάχοις υἱὸν ἡ ἱστορία παρέδωκεν, ἡ δὲ τοῦ οἴνου πλεῖον πόσις κωμῳδεῖσθαι πεποίηκε, τὸν μεθύοντα καλεῖσθαι τοῦτον παρασκευάσασα. αὐτὸν δὲ οὖν τοῦτον ἀνελὼν ὁ Βασίλειος εἰς ἑαυτὸν τὴν βασιλείαν μετέστησε. Τούτου δὲ βασιλεύοντος, ἐγένετό τινας τῶν κατὰ τὴν μεγάλην Ἀρμενίαν μέγα δυναμένων εἰς τὴν μεγάλην Κωνσταντινούπολιν ἐλθεῖν καὶ τούτῳ δὴ προσελθεῖν τῷ βασιλεῖ Βασιλείῳ. ὁ δὲ τοὺς ἄνδρας ἀσμένως ἐδέξατο· καὶ δώροις ἠμείψατο καὶ ἀξιώμασιν ὕψωσε. Καὶ οὗτοι ταῖς πρώταις τιμαῖς ἐδοξάσθησαν. ***Ἐκείνων οὖν εἷς καὶ ὁ τῆς σεμνῆς Μαρίας πατὴρ ἐγνωρίζετο.*** Τούτου δύο μὲν υἱοί. τρεῖς δὲ θυγατέρες ἐγένοντο, ὧν αἱ μὲν δύο ἀνδράσιν ἔτι περιόντος τοῦ πατρὸς ἐξεδόθησαν. ἡ δὲ παρ' ἡμῶν εὐφημουμένη Μαρία, ὑστάτη(4) τῶν παίδων οὖσα τοῦ τεκόντος(5) ἀποθανόντος παρὰ τῇ μητρὶ κατειλείφθη καὶ ταύτῃ συνῴκει καὶ παρ' αὐτῆς ἀνήγετο. Τῇ γε μὴν ἀδελφῇ Μαρίᾳ προάστειον ἦν κατὰ τὴν ἐν Θράκῃ Μεσύνην. [ἐκεῖ γοῦν κατῴκει] Βάρδας ἐκεῖνος, ὃς Βρατζῆς ὠνομάζετο(6)ὅπερ ἐξ ἐκείνου εἰς ἔτι καὶ νῦν τοῦ

1. συζευχθῆσαν.
2. διηγηταῖον.
3. ἀποκτενῶς.
4. ὑστάτου.
5. τεκῶντος.
6. Τὸ χωρίον ἐδιωρθώθη, διότι ἦν ἀκατανόητον. Ἡ Μαρία ἦτο γυναικαδέλφη τοῦ Βάρδα Βρατζῆ. Εἶναι περίεργον, ὅτι ἐν τῇ ἡμετέρᾳ πατρίδι, τῇ ἐγγὺς τῆς Κορυτσᾶς πεδιάδι τοῦ Δεβόλεως ὑπάρχει χωρίον Μπράτσι. Τοῦτο ἀσφαλῶς ἦν στρατοπέδιον τούτου τοῦ Βάρδα. καὶ ἄλλα ἐν τῇ ἐπαρ-

Βρατζῇ ἐπιλέγεται.

§ 3. Εἰς τοῦτο οὖν τὸ κτησείδιον πλειστάκις ἐξιόντι τῷ Βάρδᾳ συνήθης καὶ φίλος τις Νικηφόρος δρουγγάριος γίνεται, ἐκ χωρίου τινὸς ὁρμώμενος, ὃ τὰς Καμάρας ἐπονομάζουσι. τῷ δὲ χρόνῳ συναυξανομένης αὐτῆς τῆς φιλίας καὶ προϊούσης ἐπὶ τὸ μεῖζον ἐπισφίγγεται αὐτὴν ἔτι μᾶλλον ὁ Βάρδας. ἠπείγετο καὶ δεσμὸν ἐπενόει στερεόν τε καὶ ἀρραγῆ. ὁμιλῶν οὖν ποτε τῷ Νικηφόρῳ. «ἐπειδή, φησί, ὦ φίλτατέ μοι ἀνδρῶν, οὕτως ἐκ συνηθείας ἀλλήλοις συνεκράθημέν τε, καὶ συνεδέθημεν δίκαιον ἥγημαι τὸν δεσμὸν τοῦτον τὸν τῆς ἀγάπης, βεβαιότερον θεῖναι καὶ τελειότερον καὶ τὰ τῆς ἀγχιστείας τούτῳ προσθεῖναι ἅμματα, ἵνα διπλῇ συνδεσμώμεθα μετὰ τῆς συνηθείας προσλαβόντες καὶ τὴν συγγένειαν». εἶτα καὶ οὕτως αὐτῷ καταλέγειν ἄρχεται. «Ἔστι» τῇ ἐμῇ συζύγῳ ἀδελφὴ παρθένος. καὶ ἡ παρθένος σφόδρα καλή, οὐ μόνον καλὴ τὴν ὄψιν, ἀλλὰ καὶ τὴν ψυχήν, ὡς ἀντιλάμπει τὸ ἔσωθεν κάλλος τῷ κάλλει τοῦ σώματος. Ταύτην, εἰ δοκεῖ καὶ Θεῷ, λῆψαί σε αὐτῷ εἰς γυναῖκα, κἀντεῦθεν λοιπὸν ἄλυτον τὴν ἀγαπην τηρήσωμεν. ἐμοὶ δὲ μελήσει ὅπως ἡ μήτηρ τῆς κόρης πεισθήσεται καὶ τὸν γάμον τῆς θυγατρὸς κατανεύσει». δέχεται τὸν λόγον ἡδέως ὁ Νικηφόρος.

§ 4. Καὶ μηδὲν μελήσαντες, τὴν Κωνσταντίνου καταλαμβάνουσιν καὶ εἰς λόγους ἔρχονται τῇ μητρὶ τῆς κόρης περὶ τοῦ πράγματος. ἡ δὲ πείθεται καὶ τὴν θυγατέρα τῷ Νικηφόρῳ συζεύγνυσι καὶ οὕτως ἡ καλλίστη Μαρία οἴκαδε ἐξιόντιν τῷ ἀνδρὶ συνέπεται. ἐπεὶ δὲ οὔτε μῦρον ἔστι λαθεῖν κινούμενον, κἂν ὅτι μάλιστα κρύπτεται· κηρύττει γάρ ἡ εὐωδία αὐτό, οὔτε ἀρετὴν ἐνεργουμένην· τὰ γάρ ἔργα ταύτην μηνύουσιν. οὐκ ἔλαθεν οὐδὲ ἡ σεμνοτάτη γυναικῶν αὕτη τῷ πνεύματι ζέουσα καὶ τῷ Κυρίῳ δουλεύουσα. Ταῦτά τοι θαῦμα τοῖς περιοικοῦσιν ἐτύγχανε καὶ ἐν τοῖς ἁπάντων ἔκειτο στόμασιν· οἷα γάρ αὐτῆς τὰ σεμνολογήματα! εἰκὼν ἦν τῆς πραότητος, στήλη τῆς σωφροσύνης, φιλοθεΐας ὑπόδειγμα, τύπος ἐλεημοσύνης, τῆς εἰς πάντας εὐλαβείας πα-

---

χία μου φέρουσιν ὀνόματα γνωστῶν τοῦ Βυζαντίου στρατηγῶν. εἰς τὰ μεθόρια ἦσαν στρατιωτικαὶ αἱ περιφέρειαι ἤτοι φέουδα τῶν στρατηγῶν, οἵτινες ἰδίοις ἀναλώμασι διετήρουν τὰς φρουράς. Ὁ Βάρδας οὗτος χρονικῶς συμπίπτει πρὸς τὸν στρατηγὸν Βάρδαν, τὸν πατέρα τοῦ Νικηφόρου Φωκᾶ, δὲν εἶναι ὅμως ὁ ἴδιος οὔτε ἄλλοθεν γνωστός.

ράδειγμα. οὐκ εἶδέ τις ταύτην ὀργιζομένην εἰκῇ, οὐ θεραπαινοῦσιν ἐκτείνασαν μάστιγας, οὐ φθεγξαμένην ὑβριστικῶς. ἀγαπητὰ σφόδρα τὰ θεῖα ἡγεῖτο σκηνώματα, ὡς δύνασθαι μετὰ τοῦ Δαυῒδ αὐτὴν λέγειν. «Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου». οὐκ ἠνέσχετό ποτε στυγνὸν ἢ κενὸν ἀποπέμψαι τὸν οὔτε νοσοῦντα ἀναγκαίων δεόμενον. ἀλλ' ἀπῆλθεν ὁ προσιὼν λαβών, ὅπερ ἐβούλετο. τοὺς ἱερεῖς ὡς Θεοῦ λειτουργοὺς καὶ ταμίας φρικτῶν καὶ μεγάλων μυστηρίων, ὑπερβαλλόντως ἐτίμα, τοὺς μοναχοὺς ὡς πατέρας ἑώρα.

§ 5. Καὶ ἐπὶ πᾶσι τὸ καλὸν χρῶμα τῆς αἰδοῦς εἶχεν αὐτὴ ἐπανθοῦν. ἐῶ λέγειν τὴν ἀγαθὴν οἰκουρίαν τὴν φιλεργίαν, τὸ περὶ τὴν ἐσθῆτα λιτὸν καὶ ἀπέριττον, τὸ περὶ τὴν τράπεζαν ἐγκρατὲς τὰ ἄλλα οἷς(1) ἐκείνη ἀνεπιτηδεύτως ἐκέχρητο. Ἀλλὰ πῶς ἂν παρέλθημι τὴν περὶ τοὺς θείους ναοὺς σπουδήν; πῶς ἂν παραδράμημι(2) τὸν σύντονον δρόμον; πῶς ἂν σιγήσαιμι τὸ περὶ τὰς θείας ὑμνῳδίας ἐμμελὲς καὶ νηφάλιον;(3) οὐκ ἦν αὐτῇ ἐν τῇ οἰκίᾳ οἶκος εὐκτήριος, ἀλλ' εἰς τὴν καθολικὴν τῆς κώμης ἐκκλησίαν ἑσπέρας καὶ πρωῒ κατὰ τὸν καιρὸν ἐβάδιζεν τῆς συνάξεως. Καὶ τὴν προθυμίαν οὐδὲν ἐξέλυσεν, οὐκ ἀέρος ἀταξία, οὐ μεταβολὴ τῶν ὡρῶν, οὐ θέρους θερμότης, οὐ χειμῶνος ψυχρότης, οὐκ ὄμβρος, οὐ νιφετός, οὐ τὸ τῆς ὁδοῦ διάστημα ὑπὲρ τὸ στάδιον ὄν, οὐ ποταμὸς ἐφ' ἑκάστης διαβαινόμενος· πρὸς γὰρ τοῖς ἄλλοις οὐκ ἦν οὐδ' ἀβρόχῳ ποδὶ πορεύεσθαι, ἀλλὰ δι' ὕδατος ἔδει διέρχεσθαι, ἐπ' οὐδενὶ γοῦν τούτων ἁπάντων ἡ τὴν ψυχὴν ἀνδρεία ἐν γυναικείῳ τῷ σώματι φέρουσα κατεμαλακίσθη ποτέ, ὡς ἀπολειφθῆναι τῆς τοιαύτης ἀγαθῆς πορείας, εἰμὴ νόσος σφοδρὰ διεκώλυσεν· ἐν μέντοι τῇ ἐκκλησίᾳ σχολάζουσα, οὐχ' ἁπλῶς ἀφοσιοῦται τὴν ἄφιξιν. μέρος δέ τι κρυφὸν ἀπολαμβάνουσα τοῦ ναοῦ οὐ πρότερον ἐπαύετο γονυκλίνουσα, ἕως συγχνοῖς τοῖς ἱδρῶσιν ἐπὶ τὴν γῆν φερομένοις ἠλέγχετο κάμνουσα. § 6. ὅτι μὲν οὖν σφόδρα φιλόθεος ἦν ἡ μακαρία, δυνατὸν ἐντεῦθεν τεκμήρασθαι. ὅτι δὲ καὶ περὶ τοὺς ὁμογενεῖς συμπαθὴς καὶ φιλάνθρωπος ἐχρημάτισε, παραστήσει τὸν νῦν ῥηπησόμενον. Ἧκέ ποτε ὁ τοὺς δημοσίους εἰσπραττόμενος φόρους. διοικητὴν οἶδε(4) τοῦτον καλεῖν ἡ συνήθεια. Καὶ τοὺς τὴν κώμην οἰκοῦντας κατεῖχε καὶ εἰς φυλακὴν ἐν στρέβλαις παρεδίδου, μὴ

1. ἧς
2. παρέλθημοι, παραδράμημοι. ἐμιμήθη τὰ εἰς —μι ῥήματα!
3. νηφάλαιον.
4. εἶδε.

ἔχοντας ἀποδοῦναι τὸ ἀπαιτούμενον. τί οὖν ἡ φίλοικτος ἐκείνη ψυχή; ἔπαθέ τι πρὸς τὴν ἀκοήν; οὐκ ἔφερεν οὕτω πάσχειν κακῶς τοὺς τῆς κώμης οἰκήτορας. ἀπεῖδε πρὸς τὴν ἑαυτῆς οὐσίαν. χρυσίον ἐζήτει πρὸς ἐλευθερίαν τοῖς πάσχουσιν. οὐχ εὕρισκε τοῦτο παρ'ἑαυτῇ. φίλοι κιχρῶσιν αὐτῇ τὸ ζητούμενον. καὶ λαβοῦσα τὸ δάνειον πέμπει διά τινος ἀνθρώπου χρηστοῦ τῷ εἰσπράττοντι καὶ τοὺς δεσμώτας ἐκλύεται. οἱ δέ, τῆς εἱρκτῆς ἀπολυθέντες, οὐκ ἐπὶ τὴν οἰκίαν ἕκαστος, ἀλλ' ἐπὶ τὴν ῥυσαμένην ἅπαντες ἔρχονται· χαίροντες, εὐφημοῦντες, τὴν εὐεργεσίαν κηρύττοντες· τοῦτο μὲν δὴ τοιοῦτον ἦν ἐκ πολλῶν καὶ ἀντὶ πολλῶν ἐν ἀρχαῖς φιλανθωπίας τεκμήριον. §7. Τί δὲ ἐν τοῖς περιστατικοῖς καὶ τοῖς πειρασμοῖς, πότερον ἀγενῶς κατέπιπτε καὶ ἐμαλακίζετο ἢ τοὐναντίον γενναίως ἔφερε καὶ ἠνδρίζετο; πάντως οὐκ ἦν(1) εἶδος ἀφιλόσοφον εὑρεῖν ἐν αὐτῇ οὐδὲν ταῖς συμφοραῖς ἐλέγχεσθαι τὴν φιλόθεον· δηλώσει δὲ τὰ ἑξῆς.

§. 6. Τοῦ γάμου καρπὸς αὐτῇ παιδίον ἄρρεν ἐγένετο καὶ τὸ βρέφος Ὀρέστην ὠνόμασεν. πέμπτον δὲ τῆς ἡλικίας ὁ παῖς εἶχεν ἔτος καὶ τῇ τοῦ θανάτου δρεπάνῃ ἀώρως(2) θερίζεται. ἡ μὲν οὖν ἄλλοι ἔκλαιον ἀπαράκλητα καὶ ἀτάκτως ἐκόπτοντο, ἡ δὲ μήτηρ ἦν στρεφομένη(3) ὡς εἰκὸς τὰ σπλάχνα καὶ ἐταράττετο· ἔμενε δὲ καθ' ἑαυτὴν στενάζουσα καὶ εἰς φανερὰ ἐξέπιπτε δάκρυα. οὐ μὴν καὶ σεμνόν τι ἐπεδείξατο. οὐ τὴν κόμην ἐσπάραζεν, οὐ τὰς παρειὰς ταῖς χερσὶν ᾔσχυνεν, οὐ τὸν χιτῶνα διέρρηξεν, οὐ κόνιν τῆς κεφαλῆς κατεχέατο, οὐ βλάσφημον ῥῆμα προήκατο. ἀλλὰ μικροῦ (δεῖν) τὴν φύσιν ἐνίκησεν· καὶ ὅσον δεῖξαι, ὅτι μήτηρ ἐστὶ τοσοῦτον ἐπιδακρύσασα. Εὐχαριστοῦσα οὖν τῷ ταμίᾳ τῶν ἡμετέρων ψυχῶν καὶ ἠρεμίᾳ φωνῇ καὶ καθεστῶσα τῇ διανοίᾳ τὰ τοῦ Ἰὼβ μεγαλοψύχως ἐφθέγγετο: «ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας». Οὕτω μεθ' ὑπομονῆς καὶ εὐχαριστίας ἔφερε τὰ συμπίπτοντα· εἰ γάρ μονογενοῦς υἱοῦ τελευτὴν οὕτω γενναίως ἐδέξατο, τί τῶν ἄλλως ἀλγεινῶν οὐκ ἂν εὐχερῶς καὶ μετρίως ἤνεγκεν; Τί τὸ μετὰ τοῦτο; Δεύτετερον ἔσχεν υἱόν ἡ Μαρία καὶ τοῦτον ***Βαρδάνην*** ὠνόμασεν εἶτα τὴν ἐπὶ Βιζύης ἐστείλατο. καὶ ἡ αἰτία τῆς μετοικίας τοιαύτη ἦν.

§. 7. ***Μετὰ τὸν αὐτοκράτορα Βασίλειον Λέων ὁ σοφὸς καὶ Ἀλέ-***

1. οὐμήν.
2. ἀόρως.
3. ἴσως τετρωμένη.

*ξανδρος οἱ τούτου παῖδες τὴν ἀρχὴν διεδέξαντο· ὁ δὲ τῶν Βουλγάρων Συμεών, χριστιανοῦ μὲν φέρων προσηγορίαν, ἀνὴρ δὲ χρηματίζων αἱμάτων τέλειος, ἐπιστρατεύει τηνικαῦτα Ῥωμαίοις καὶ πολὺν φόνον ἐργάζεται.* Τότε τοίνυν ὁ τῆς Μαρίας Νικηφόρος ἀριστεύει τοῖς Βουλγάροις μαχόμενος καὶ ψήφῳ τῶν κρατούντων εἰς τὴν τῆς Βιζύης τούρμαν ἐκπέμπεται. Καὶ δὴ τὴν πόλιν ταύτην σὺν γυναιξὶ καὶ τέκνοις καταλαμβάνει. Ἐνταῦθα ἡ μακαρία τὸν μὲν τόπον ἤμειψεν ἀπὸ κώμης εἰς πόλιν μετελθοῦσα, τὸν δὲ τρόπον οὐκ ἤμειψεν, ἀλλὰ τῆς ἰδίας προθέσεως εἴχετο, χήραις τε καὶ ὀρφανοῖς ἐπήρκει, καὶ μοναχοῖς τοῖς τε ἐν σπηλαίοις καὶ τοῖς ἐν οἰκίσκοις ἑαυτοὺς ἐγκλείουσιν ἐχορήγει τὰ πρὸς τὴν χρείαν. ἱερεῦσι(1) δέ τινι τρόπῳ συνήθει χρωμένη διὰ τούτων(2) τῆς εὐκοσμΐας τῶν πέριξ ναῶν ἐπεμέλετο. «Ἕν μέντοι τοῦτο μόνον ἠλλοίωσεν, ὅτι μηκέτι τὴν ἐκκλησίαν ἐφ' ἑκάστης ὡς πρότερον κατελάμβανεν, ἀλλὰ οἴκοι τὰς προσευχὰς ἐποιεῖτο τῇ τῆς Θεομήτορος εἰκόνι προσπίπτουσα καὶ τὰς καταλλήλους ᾠδὰς προσᾴδουσα μετὰ καὶ τῆς βίβλου τῶν Ψαλμῶν. οὐ ῥαθυμίᾳ, οὐδ' ὄκνῳ εἰργάσατο, ἀλλὰ σωφρονοειδῶς.(3) Καὶ τὸ μὴ βούλεσθαι ὡς ἐν πόλει πολυανθρώπῳ πᾶσιν ἀκρίτως ὁρᾶσθαι ξένοις τε καὶ αὐτόχθοσιν, τοῦτο μὲν ὡς μόνον καινοτομηθὲν ἐπεσημηνάμεθα. Τὰ δ' ἄλλα ὥσπερ σειρά τις ἀλληλούμενα τὴν ἁρμονίαν ἀκριβῶς ἔσωζεν.

§. 8. Ἤκουσεν ἡ ἀοίδιμος τῆς τοῦ Σωτῆρος φωνῆς. μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων καὶ τοὺς ἐκείνων ἀγγέλους τὴν περὶ αὐτοῦ κηδεμονίαν(4) ἔχειν ἠπείγετο(5) μάρτυρας, ἀμέλει κἂν ἱκέτης προσῆλθεν ἀλλότριος ἤ τι χρῆμα δεσποτικὸν ἀπολωλεκώς, ἢ σκεῦος συντρίψας, ἐλάμβανεν, ὅπερ ἀπώλεσεν καὶ πρὸς τὸν δεσπότην ἐπανήει χαίρων, οὐ πληγάς τινας δεδοικώς, οὐδὲ μάστιγας. καὶ θεράποντας δὲ καὶ θεραπαινίδας τὰς ἑαυτῆς, [οὐχ] ὡς δούλους ἑώρα ἀλλ' ὡς οἰκείων μελῶν ἐφείδετο σοφῶς ἐκείνη κρίνουσα πάντα τὰ ἐκ Θεοῦ καὶ τὴν ὁμοτιμίαν λογιζομένη τῆς φύσεως, καὶ ὅτι ὅσα περ καὶ χερσὶν ἢ ποσὶ τοῖς δούλοις κεχρήμεθα καὶ τὰς εὐτελεῖς μάλιστα(6) καὶ δυστυχεστέρας διακονίας—αὐτοὶ πολλάκις ἠρεμοῦντες—δι' ἐκεί-

---

1. ἱερεῖς.
2. διὰ τούτου.
3. σωφροναιδῶς.
4. κηδαιμωνίας.
5. ἐπήγετο.
6. μάλλιστα.

νων ἀνύομεν. Διὰ ταῦτα καὶ μαστίζειν οὐκ ἤθελεν καὶ τρέφειν καὶ θάλπειν ἤθελεν· τοῖς γέ μὴν ἐπιδημοῦσι τῶν ξένων οὐκ ἐπιζυγοῦσθαι τὰς θύρας ἐκέλευεν, ἀλλ' [ἔχειν] ἀναπεπταμένας. αὐτοὺς δὲ ὑπεδέχετο καὶ δαψιλῶς δεξιουμένη χαίροντας ἐξέπεμπε. καὶ μοναχοὶ δέ, οἵ παρέβαλλον, βαβαὶ τῆς τιμῆς, βαβαὶ τῆς φιλοφροσύνης, ὡς ἀγγέλους Θεοῦ ἄνωθεν κατιόντας, εὐλογίαν κομίζοντας, οὐράνια δῶρα φέροντας, οὕτως ἐδέχετο, οὕτως ἐτίμα, οὕτως ἀσμένως ἠσπάζετο.

§. 9. Ἀλλὰ τοιαύτη μὲν περὶ τοὺς ἄλλους ἐδείκνυτο· αὐτὴ δὲ ἀμελῶς εἶχε περὶ ἑαυτὴν καὶ κόσμον μὲν ἡγεῖτο τὴν ἀκοσμίαν, τὸ δὲ κοσμεῖσθαι χρυσίῳ ἢ ἱματισμῷ κατὰ τὴν μεγάλην τοῦ θείου Παύλου παραίνεσιν, ἀπεπέμπετο· τῇ ψυχῇ δὲ τὰ χρυσία καὶ τοὺς διαφανεῖς καὶ τιμίους λίθους καὶ τὰς λαμπρὰς ἐσθῆτας(1) διὰ τῆς τῶν πενήτων χειρὸς παρετίθετο· ὅσα γάρ εἰς κλῆρον ἑαυτῇ προσήρμοσε, πάντα τοῖς ἄνω θησαυροῖς ἐναπέθετο, μηδὲν τοῖς τέκνοις καταλιποῦσα· τῶν γε μὴν τοῦ ἀνδρὸς οὐχ ἥψατο τίποτε, ἵνα μὴ τὰ κατ' αὐτὴν ἄπιστα γένωνται καὶ ὡς εἰκός(2) παθοῦσαν αὐτὴν αἰτιάσηται καὶ ταραχῆς ἐμπλήσῃ τὸν οἶκον.

§. 10. Τὰ δὲ περὶ τὴν δίαιταν, εἰ μὲν παρῆν ὁ ἀνὴρ αὐτῆς, τὰς τεσσαρακοστὰς μόνον αὕτη ἐνήστευεν. εἰ δὲ στρατευόμενος ἀπεδήμει καὶ τὸν ἄλλον ἅπαντα καιρὸν κρεωφαγίας ἀπείχετο, προφάσει μὲν διὰ τὴν τοῦ ἀνδρὸς ἀποδημίαν, τῇ δ' ἀληθείᾳ διὰ τὸ τῆς νηστείας ὠφέλιμον. Πρὸς μέντοι τὸν οἶνον καὶ φύσει πως διεβέβλητο(;) κατά τινα τοῦ σώματος κρᾶσιν καὶ ἰδιότητα, ὡς νηπιόθεν αὐτοῦ μὴ γεύσασθαι. Ταῦτα τῆς μακαρίας τὰ κατορθώματα, ταῦτα τῆς θαυμασίας ἐκείνης τὰ προτερήματα, ἐφ' οἷς οἱ μὲν ἀκούοντες ἢ ὁρῶντες ἐξίσταντο, ὁ δὲ Θεὸς ἐδοξάζετο.

§. 11. Τελευτήσαντος δὲ αὐτῇ καὶ τοῦ δευτέρου παιδός, φέρει μὲν εὐχαρίστως τὸ πάθος· οὐ πολὺς δὲ καιρὸς(3) παρῆλθε καὶ συλλαμβάνει πάλιν καὶ τίκτει διδύμους, καὶ τὸ ξένον εὐθὺς περὶ τοὺς τεχθέντας ἐγένετο· ὁ μὲν γάρ πρωτότοκος, ὁ καὶ ***Βαάνης*** κληθείς, ἀπὸ τοῦ δεξιοῦ ὤμου οἷά τινα ζώνην εἰς τὴν ἀριστερὰν πλευρὰν διατείνουσαν εἶχεν κατὰ διάμετρον· ὁ δὲ μετ' αὐτὸν τεχθείς, ***Στέ-***

1. αἰσθήτας.
2. εἰκῇ, ὅπερ ἀντίκειται.
3. κερός.

*φανος* δὲ ὀνομασθείς, ἀπὸ κεφαλῆς μέχρι ὀσφύος([1]) διαζώσματι([2]) περιεβέβλητο· ἐδόκει δὲ ταῦτα τῷ πατρὶ καὶ τῇ μητρὶ οὐκ ἀσύμβολα. Καὶ διηπόρουν τί ἄρα καὶ βούλεται τὰ ὁρώμενα. ἡ μὲν οὖν μήτηρ τὸν μὲν στρατιώτην, τὸν δὲ μοναχὸν ἔσεσθαι προηγόρευεν· ὁ δὲ πατὴρ τὸν μὲν πρωτότοκον καὶ αὐτὸν εἰς στρατιώτας ἐγκαταλέξας ἔφησε βούλεσθαι· τὸν δεύτερον γραμματιστῇ παραδοῦναι· καὶ τὰ εἰς λόγους δεξιῶς ἐργασάμενον τοῖς περὶ τὰ βασίλεια στρεφομένοις ἐναριθμεῖν ἔλεγεν. Ἡ δὲ μακαρία, «ταῦτα μέν, εἶπεν, ὡς ἂν οἰκονομήσῃ Θεὸς ἄγοιτο. ἐγὼ μέντοι τὴν ὁποτέρως ἐσομένην ἔκβασιν ἐπ' αὐτοῖς οὐκ ἂν ἐθεασάμην· ἀπελεύσομαι γάρ, οἶμαι, ἐντεῦθεν πρὶν ἢ ταῦτα γενέσθαι»· ὅτι δὲ κατὰ τὴν ἐκείνης ἐξῆει([3]) πρόρρησιν, καὶ ματισθείς.
ὁ μὲν τῶν παίδων εἰς στρατιώτας, ὁ δὲ εἰς μοναχοὺς κατήντησε([4]), προϊὼν ὁ λόγος δηλώσει.

§ 12. Ταύτης μὲν τῆς οὕτω βιούσης τὸν τρόπον καὶ οὕτω παρὰ πάντων ἐπαινουμένης ὁ τὸν Ἰὼβ μὲν πρότερον ἐξαιτησάμενος, ὕστερον ὁ τὴν ἡμετέραν πτέρναν τηρῶν καὶ τῆς ἐν βίῳ πορείας τὸ τέλος ἐπιτηρῶν μάλιστα, ἐξαιτεῖται καὶ τὴν μακαρίαν, ὡς ἔοικε, καὶ ζητεῖ τὴν κατὰ Θεὸν αὐτῆς πολιτείαν ὑποσκελίσαι καὶ περιτρέψαι τὰ διαβήματα, καὶ τὴν κατευθυνομένην ταράξαι τρίβον. Καὶ δὴ τοιοῦτόν τινα τελευταῖον πειρασμὸν τῇ σεμνοτάτῃ γυναικῶν ἐπιφέρει, ἐφ' ᾧ καὶ τὸν βίον καταλύει καὶ πρὸς τὴν ἀγήρω ζωὴν μετατίθεται. ἀλλά μοι σκοπεῖτε τὴν κακουργίαν τοῦ πειραστοῦ καὶ δεινότητα καὶ ὅπως τὸν μείζονα πειρασμὸν καὶ ἀφόρητον οὐκ ἐν ἀρχῇ, ἀλλ' ἐπὶ τῷ τέλει προσήγαγεν· οὗτος γὰρ ὁ τρόπος τῆς ἐκείνου τέχνης καὶ μεθοδείας. Τὰς δριμυτέρας καὶ ἰσχυροτέρας πείρας([5]) ἐν ἐσχάτοις ταμιεύεσθαι καὶ μετὰ πάσης ὑπάγειν μηχανουργίας, ἵν', ὅταν ἀτονήσῃ τοῖς προλαβοῦσι τεχνάμασιν, ἐπαγαγὼν μετὰ ταῦτα τὸ κραταιότερον ἡττήσῃ καὶ παραστήσῃ. Ὁ μὲν οὖν τοιοῦτός ἐστιν καὶ οὐδέποτε τῆς ἑαυτοῦ ἐπιλήσηται πανουργίας, ὁ δὲ τῶν δυνάμενων Κύριος οἶδε τοὺς ἑαυτοῦ καὶ πατεῖν αὐτοὺς ποιεῖ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ ἐπιλύχνιον αὐτὴν τιθεὶς τοῖς ἐνδυναμουμένοις ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ, καὶ τὸ θαυμασιώτερον, ὅτι γυναῖκες ἁπαλαὶ τὸν

1. ὠσφύως.
2. διάζωσμα (ἀντὶ διάζωσμα) τύπος ἐκ τοῦ παρακειμένου ἔζωσμαι σχη-
3. ἐξείη.
4. παρήγγειλε.
5. πείρας ἤτοι δοκιμασίας.

ἐγκαυχώμενον νικᾷν τὴν ὑπ' οὐρανὸν διαπαίζουσιν, ὥσπερ οὖν καὶ ἡ τελεία αὕτη περιστερά, ἡ ὅλως ἀγομένη τῷ πνεύματι, ἐν ᾧ καὶ τοὺς βρόχους ὑπερπτήσασα τοῦ πονηροῦ οὐ συνελήφθη τῷ πειρασμῷ.

§. 13. Ὁ δὲ ἦν βαρυτάτη συκοφαντία ἡ καὶ ἄνδρας ταπεινοῦσα κατὰ τὴν παροιμίαν, ἣν οὐδὲ ὁ πολύτλας Ἰὼβ μετρίως ἤνεγκεν, εἰ καὶ μὴ ἐπὶ τοῖς αὐτοῖς ἡ συκοφαντία. Τίνες δὲ καὶ οἱ πλέξαντες; οὐκ ἀλλότριοι, ἀλλ' ἀδελφοὶ τοῦ τῆς Μαρίας ἀνδρός, Ἀλέξιος καὶ Ἑλένη αὐτῶν τὰ ὀνόματα. Οὗτοι τὴν σώφρονα πρὸς αὐτὸν διαβάλλουσιν—ἡ Αἰγυπτία φασὶ τὸν Ἰωσὴφ—τὸν οἶκον κενοῦσα καὶ Δημητρίῳ τῷ ἱκέτῃ συμφθειρομένην. Ἐδέξατο τὴν διαβολὴν ὁ ἀνήρ, ἀληθῆ νενόμηκεν(¹) εἶναι καὶ οὐκέτι λοιπὸν εἰρηνεύειν ἤθελε πρὸς τὴν σύζυγον. Ἰδίᾳ μέντοι ταύτην καλέσας «οὐκ ἄλλη, φησίν, ἡ ἀκοή, ὦ γύναι, ἣν περὶ σοῦ ἀκούω τοῖσδε πειθόμενος». καὶ τὶς ἀκοὴ καὶ παρα τίνος ταύτην ἀκούσειεν; «ἀδελφοὶ μέν, εἶπεν, οἱ ἀπαγγείλαντες. κένωσις δὲ τῆς οἰκίας ἐστὶ τὸ ἀπαγγελθὲν καὶ τὸ δεινότερον, μοιχεία σοι πρὸς τὸν ἐμὸν ἱκέτην Δημήτριον».

§. 14. Ἤκουσεν ἡ σεμνοτάτη τὸ αἴσχιστον τοῦτο ῥῆμα καὶ περιπαθὲς στενάζουσα, καὶ δακρύων τοὺς ὀφθαλμοὺς πλήσασα, «οἴμοι, ἀπόλωλεν, εἶπεν, ἐξ ἀνθρώπων ἡ πίστις. οὐ δέδοικα μὴ πιστεύεσθαι ἀπολογούμενη,(²) ἐφ' οἷς διαβέβλημαι σήμερον, εἰ μὴ ἑκατέρας τὰς ἀκοὰς κατειποῦσιν ἐκδέδωκας, ἀλλὰ θατέραν ἐμοὶ τετήρηκας. οὐκ οἶδα κοίτην ἀνδρός, εἰ μὴ τὴν σήν, ἄνερ γλυκύτατε, ᾧ νομίμως συνεζύγην, ᾧ παρὰ τῆς μητρὸς ἐξεδόθην. Καὶ σοῦ μόνον τὴν ὁμιλίαν ἐγνώρισα ἡ δυσδαίμων καὶ ταύτης ἀπειχόμην [ἂν] ἐγώ, εἴπερ ἐξῆν καὶ καὶ ὁ θεῖος νόμος ἐπέτρεπε. νῦν δὲ οἶδα, ὅτι οὐκ ἐξουσιάζω τοῦ σώματος, ἀλλὰ σύ μοι ἡ κεφαλή, κἂν σοὶ μὴ δοκῇ. καὶ ταῦτα μὲν ἀπολογοῦμαι περὶ τῆς ἀποφήμου διαβολῆς καὶ τὸν πάντα βλέποντα ὀφθαλμὸν καλῶ μάρτυρα, ὡς οὐκ ᾔσχυνα ἐμαυτήν, οὐδὲ τὴν σὴν κοίτην ἠδίκησα».

§. 15. «Πρὸς μέντοι τὸ σκορπίζειν τὰ ἐν τῇ οἰκίᾳ αὐτοὶ λεγέτωσαν οἱ κατήγοροι. Τίς ἡ δαπάνη; καὶ ποῦ καὶ περὶ τίνα; κἂν μεν

---

1. ναινόμηκεν.

2. τὸ χωρίον τελείως ἀκατανόητον: «εἶκα μοι πιστεύεσθαι ἀπολογουμένη»! ἀποκατέστησα κατὰ τὸ ἐνόν.

γάρ σπαταλῶσαν καὶ τρυφῶσαν καὶ βλακευομένην ἐροῦσι. ταύτας μὲν τὰς δαπάνας καὶ τὰς ἀποδείξεις ἐναργεῖς καὶ τεκμηριώδεις παράσχουσι (sic) καὶ αὐτὸς ἐπὶ τὸ μέσον εἶ. ἐκδέξομαι δὲ καὶ τὴν θείαν καὶ ἄφυκτον ἀνταπόδοσιν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· εἰ δὲ ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦσα καὶ πεινῶντας τρέφουσα καὶ τὸ ἐνδεὲς τοῖς πένησιν παραμυθουμένη [διετέλουν], κοινὴν τὴν σωτηρίαν ἐν αὐτῷ καὶ σοὶ πραγματεύομαι, ὅτι καὶ κοινὸς ἡμῖν ὁ βίος. ἆράγε ζημίαν κρινοῦμαι τὸν σκορπισμὸν ἢ κέρδος καὶ σπέρμα πολύχουν ἀναδιδοῦν τὸν καρπόν;»

§. 16. Πρὸς ταῦτα ὁ Νικηφόρος «οὐδ' ἐγώ, εἶπε, τὴν εἰς τοὺς δεομένους φιλοτιμίαν κωλύω· οἶσθα γάρ, ὅτι οὐδέποτε τὴν σὴν προθυμίαν ἀνέκοψα· τὸ σφόδρα μέντοι ἀφειδῶς αἰτιῶμαι καὶ μεγαλόψυχον. μήπως τὰς τῶν ἄλλων ἐνδείας οὕτω δαψιλῶς θεραπεύοντες εἰς παντελῆ πτωχείαν ἡμεῖς καταντήσωμεν». Ταῦτα εἰπὼν καὶ ἀκούσας τὴν ὁμιλίαν διέλυσε, τοῖς κατηγόροις μᾶλλον ἢ τῇ συζύγῳ τὸν νοῦν προσθέμενος. Ἐντεῦθεν λοιπὸν καὶ τῷ κοιτῶνι τῆς Μαρίας παρακατέστησε φύλακας καὶ τὰ κατ' αὐτὴν ἐπιμελῶς ἐξιχνίαζεν. καί ποτε θεραπαινίδα τὴν μάλιστα γνησίαν, ἐκείνην ἀφ' ἧς καὶ τὴν ὑπηρεσίαν ἐδέχετο, κελεύσας ἀχθῆναι, ἐπειδὴ και παρέστη σίκον(1) ἐγκαταστήσας τὸ ἐπισκήνιον καὶ λοξώσας τοὺς ὀφθαλμοὺς καὶ τὴν φωνὴν τραχύνας ἀγρίῳ καὶ βλέμματι καὶ φθέγματι, ἠρώτα περὶ τῆς δεσποίνης αὐτὴν καὶ ἀποκτενεῖν ἠπείλει, εἰ μὴ τὸν μοιχὸν αὐτῆς ἀπαγγείλειεν.

Ἐκείνη δέ, δούλη μὲν οὖσα τὴν τύχην, οὐ δούλη δὲ τὴν προαίρεσιν ἀλλ' ἐλευθέραν ἔχουσα τὴν ψυχήν, οὐ δειλιᾷ, οὐ προδέδωκε τὴν ἀλήθειαν, οὐδὲ τῆς δεσποίνης διὰ τὴν ἀπειλὴν κατεψεύσατο, ἀλλὰ μετὰ παῤῥησίας πρὸς τὸν δεσπότην ἐφθέγξατο ῥήματα. ἔφη γάρ : «ἡ ζωὴ καὶ ὁ θάνατός μου ἐν ταῖς χερσί σου ἐστί, κύριέ μου, σήμερον καὶ πρὸς τὸ παθεῖν ἔγκειμαι πᾶν ὅ τι καὶ βούλοιο. τῇ μέντοι δεσποίνῃ φαῦλον οὐδὲν ἐγὼ σύνοιδα, οὐδ' ἄλλους λέγοντος ἤκουσα». Ὀργῆς ἐπὶ τούτοις ἐκεῖνος ἐπλήσθη καὶ τὴν δούλην ἐπὶ τῆς γῆς ἐγκαταχθεῖσαν ἰσχυρῶς ἐκέλευε τύπτεσθαι· ἐπεὶ δὲ καὶ ἱκανῶς μαστιχθείσης οὐδὲν πλέον εἶχε μαθεῖν, ἀναστῆναι(2) ταύτην μόλις ἐπέτρεψεν.

---

1. σῖκον καὶ σίκα, σικάριον ἢ μάχαιρα.

2 ἀναθῆναι.

§. 17. Ταῦτα ἰδοῦσα ἡ μακαρία καὶ τὴν τοῦ διαβόλου κατ' αὐτῆς ἐπιγνοῦσα μοχθηρίαν(1) καὶ τὴν πρὸς τὰς μοναζούσας καὶ τοὺς μοναχούς, ἀποστέλλει, οἷς διηκόνει,(2) καὶ τὰ καθ' ἑαυτὴν καταλείψασα ἠξίου διὰ τὴν κατὰ Θεὸν ἀγάπην, τὴν ὑπὲρ αὐτῆς εὐχὴν ἀναδέξασθαι. καὶ αὐτὴ δὲ κατὰ τοῦ πειρασμοῦ ὁπλιζομένη τῇ προσευχῇ καὶ τῇ δεήσει πρὸς τὸν δυνάμενον ῥύεσθαι μετὰ δακρύων ἔλεγεν: «Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες, Κύριε <καὶ> εἰς τὸ βοηθῆσαί μοι σπεῦσον». καὶ τῶν συκοφαντῶν ὑπερηύχετο καὶ ἀφεθῆναι αὐτοῖς τὴν ἁμαρτίαν ἐδέετο.

Ἐπεφύει δ' αὐτῇ καὶ ἕτερος κατήγορος, Δρόσος τούτου τὸ ὄνομα, ὃν ἐπὶ τῆς αὐτοῦ οἰκίας κατέστησε ὁ κοῦφος ἐκεῖνος. καὶ ῥᾳδίως ἀπὸ τῶν αὐτῶν, καθάπερ τὰ κενὰ τῶν ἀγγείων φερόμενος. ἐπέστησε δὲ καὶ τῇ συζύγῳ τοῦτον φρουρόν, τηρεῖν αὐτὴν ἐπιμελῶς ἐντειλάμενος μεθ' οὗ καί τινα τῶν θεραπαινίδων, ᾗ καὶ τὸ ταμεῖον πιστεύσας πάντα τρόπον λυπεῖν τὴν μακαρίαν ἐκέλευσε. κἂν λαβεῖν τι βούλοιτο, μὴ ἐφίεναι κἂν αἰτήσοιτο, μὴ διδόναι.

§. 18. Τούτοις τοῖς λυπηροῖς καὶ ἀῤῥωστία προσετίθη τοῦ σώματος καὶ ἡ σύντροφος τοῦ στομάχου ἐπετάθη ἀσθένεια, ὑφ' ἧς μάλιστα καὶ συνεχῶς κακῶς ἔπασχεν, ὀδύνας τε καὶ ἀσθενείας καὶ παιδείας(3) ὑφίστατο. καὶ ὅτε ὁ τῆς ἐκδημίας ἐπέστη καιρός, τοῖς τοῦ στομάχου κακοῖς ἐτρύχετο, συνέπεσε δὲ τηνικαῦτα καὶ τοιοῦτόν τι· παρῆν μὲν ἡ Κυριακή, καθ' ἣν τὴν τῶν κρεῶν ἀποχὴν οἱ χριστιανοὶ ποιούμενοι πρὸς τὴν ἁγίαν τεσσαρακοστὴν ἑτοιμάζονται. Ὁ δὲ ἀμείλικτος ἐκεῖνος ἀνήρ, οὐδὲ κατ' ἐκείνην τὴν ἡμέραν συνεσθιασθῆναι(4) τῇ συζύγῳ ἠθέλησεν, ἀλλὰ καθ' ἑαυτὸν μετὰ τῶν ἀδελφῶν καὶ τῶν ἄλλων οἰκείων ἐσθίων διετέλει καὶ πίνων.

Τὸ δὲ πρᾶγμα λυπηρὸν ἐδόκει τῇ μακαρίᾳ· καὶ ταῖς παρούσαις γυναιξὶν ὁμιλοῦσα ἔφη «ἰδοὺ αἱ ἡμέραι τῆς ἐγκρατείας ἐπέστησαν, καθ' ἃς τὰ προστριβέντα ἡμῖν μολύσματα ἐν μετανοίᾳ καθαίρομεν, πῶς οὖν ἡ τοῦ ἐμοῦ συζύγου δεκτὴ ἔσται νηστεία καὶ προσευχή, ἀκαταλλάκτου διαμένοντος(5) καὶ τὴν κοινὴν(6) ἔχθραν

1. καρδίαν.
2. εἰς διεικόνει.
3. ἀεδίας.
4. συνεσθιασθῆναι. τὸ σθ ἀντὶ στ εἶχεν εἰσαχθῆ πρὸ πολλοῦ ἐν τῇ γλώσσῃ. ἐνταῦθα συνεξέδραμε πρὸς τὸ ἐσθίω.
5. δυσμενίοντος ἀκατάλλακτα.
6. κενήν.

φυλάττοντος ἄλυτον; ἀλλ',οὐαί σοι, πονηρὲ καὶ βάσκανε καὶ τῆς ἡμετέρας σωτηρίας ἐχθρὲ καὶ Θεοῦ ἀλλότριε σατᾶν, σὸν τοῦτο τὸ ἔργον τοῦ τὰς καρδίας σκληρύνοντος».

§. 19. Ἔπεσεν ὁ λόγος οὗτος εἰς ἀκοὴν τινὸς χαιρεκάκου, ὃς δὴ καὶ δραμών, οὐχ ὡς ἤκουσεν οὗτος τῷ Νικηφόρῳ ἀπήγγειλεν, ἀλλ' ὡς ἔμελλεν ἐκεῖνον ἐρεθίσαι καὶ τὸν θυμὸν ἀνεγεῖραι μείζονα. «ἡ σύζυγος γάρ, φησίν, οὐδὲ χριστιανὸν εἶναί σε τίθεται, οὐδέ χρηστὰς ἔχειν ἐλπίδας αὐτῇ <μὴ καταλλαττώμενον>»(1). Ταῦτα ἐκεῖνος ἤκουσεν, καὶ ἐκινήθη μὲν κατ' αὐτῆς ἐκδεχόμενος (sic) ἑαυτὸν τὴν ἡμέραν ἐκείνην αἰδεσθεὶς τοὺς παρόντας καὶ τὴν ὁρμὴν ἐπικόπτοντας. τῇ δὲ ἑξῆς περὶ τὸν ὄρθρον λαβὼν φραγγέλιον εἰσῆλθεν εἰς τὸν κοιτῶνα αὐτῆς, καὶ ἀτενίσας·—ἡ γὰρ φωταγωγὸς ἁπτομένη τυγχάνει τῆς Θεομήτορος. Τὸ ἐν τῇ οἰκίᾳ σκότος διέλυε καὶ φαίνεσθαι τὰ ἔνδον ἐποίει.—

Ὁρᾷ (ὁ Νικηφόρος) τὴν μακαρίαν ἐπὶ τῆς κλίνης κειμένην καὶ βρέφος ἐν ταῖς ἀγκάλαις φέρουσαν καὶ τῆς κόμης αὐτῆς δραξάμενος εἷλκε καὶ ἔτυπτεν ἀφειδῶς, ἕως τις τῶν παρεστώτων παίδων δραμὼν τοῖς ἔξω μηνύει. καί τινες εἰσιόντες μόλις αὐτὸν ἐξ αὐτῆς ἀπέσπασαν. αὕτη δὲ τὰς χεῖρας ἐκείνου διαφυγοῦσα καὶ πρὸς μέρος τι τῆς οἰκίας μεταβαίνειν ὁρμήσασα προσπταίει τοὺς πόδας καὶ συμποδίζεται καὶ τὴν κεφαλὴν τραυματίζεται. Τριῶν δὲ αἰτιῶν συνδραμόντων (sic), ἀσθενείας καὶ λύπης καὶ πληγῆς παρὰ φύσιν θερμαίνεται καὶ τῇ κλίνῃ ἑαυτὴν δίδωσι. καὶ μετὰ δεκάτην ἡμέραν τῆς νόσου κραταιωθείσης τάδε δηλοῖ τῷ ἀνδρί: «εἰ βούλει, κύριέ μου, <ὅσα> ἔτι με τὴν ἀθλίαν ἰδεῖν, ἐλθὲ καὶ ἀλλήλους ὀψόμεθα».

§. 20. Ἐπεὶ δὲ καὶ ἦλθεν «ἐγὼ μὲν ἤδη ἐκλείπω, φησὶν πρὸς αὐτόν. καὶ τοῦτο δεδήλωκέ μοι καθ' ὕπνους ὁ Κύριος, τὰ δύο μοι πέμψας παιδία ἑκατέρας χειρὸς λαμβανόμενα καὶ πρὸς τὸν καλοῦντά με βασιλέα χειραγωγεῖν ὑπισχνούμενα». Ὁ δὲ ταῦτα ἀκούων κλαίειν ἐπέβαλεν. κἀκείνη τὸν λόγον πάλιν ἀναλαβοῦσα, «ἰδού, φησίν, ὡς τῷ Κυρίῳ ἔδοξεν ἐν τῇ νόσῳ ταύτῃ τελειοῦμαι καὶ πρὸς τὸν κοινὸν δεσπότην μεθίσταμαι. σὺ δέ, εἴ καὶ μὴ πρότερον, ἀλλὰ νῦν δέξαι με τὰ ἐμαυτῆς ἀληθῶς ταῦτα ἀναγγελούσης μου. Οὐ καλῶς ὑπὸ τῶν συκοφαντούντων με παρηνέχθης καὶ ἀκοὴν παρεδέξω ματαίαν. Μάρτυς μου Κύριος, εἰς οὗ τὰς χεῖρας τὴν ψυχὴν παραθή-

1. καταλατώμενον.

σομαι, οὐκ οἶδα τὸ πονηρὸν ἐκεῖνο ῥῆμα, ἃ οὐκ ἔγνων, ἠρωτήθην. ἔξελε τῆς καρδίας τὴν φαύλην ὑπόνοιαν καὶ χαῖρε καὶ σώζου μετὰ τῶν τέκνων».

§. 21. Ταῦτα εἶπε καὶ τὴν χλαμύδα τὸν ἑαυτῆς ὦμον περιελοῦσα καί τινα τῶν οἰκείων καλέσασα, πωλῆσαι ταύτην καὶ ἀποδοῦναι τοῖς χρεώσταις τὸ χρέος ἐκέλευεν, εἰποῦσα καὶ τῶν δανειστῶν τὰ ὀνόματα καὶ ὅσον ἑκάστῳ τὸ ὀφειλόμενον. ὁ δὲ σύζυγος, «τὴν μὲν χλαμύδα, ἔφη, τοὺς παῖδας ἔασον ἔχειν, ἐγὼ δὲ πᾶσαν τὴν ὀφειλὴν τοῖς δανεισταῖς ἀποτίσαιμι» (sic). καὶ δὴ τοῦτο αὐτίκα μάλα(¹) πεποίηκε. Ἐπειδὴ δὲ καὶ τοῖς ἐν τῇ πόλει ἐπιφανέσι τῶν γυναικῶν ὁ ταύτης ἐγγίζων ἐγνώσθη θάνατος, αἱ μὲν παρῆσαν πᾶσαι. ἡ δὲ ταύτας ἰδοῦσα καὶ ἀσπασαμένη καὶ μικρόν τι προσομιλήσασα τελευταῖον «ἰδού, φησίν, ὁ οὐρανὸς ἀνοίγεται καὶ φῶς ἄρρητον βλέπω καὶ στέφανον αἰωρούμενον». καὶ τούτοις συναπῆλθε τοῖς ῥήμασιν.

Εἶτα κλαυθμὸς πολὺς καὶ κοπετὸς ἀνερρήγνυτο, ὁ μὲν ἐκ τοῦ συζύγου, ὁ δὲ εκ τῶν γυναικῶν ἐγειρόμενος. τοῦ δὲ θρήνου κατασιγα[σ]θέντος ἐπιτάφια καὶ λουτρὰ ἑτοιμάζετο (sic). Πρὶν ἢ δὲ ταῦτα τῆς μακαρίας προσαχθῆναι τῷ σώματι, εὐωδία ἡδεῖα ἐφέρετο καὶ πάντα τόπον ἐπλήρωσεν, ὥστε θαυμάζειν τὰς συνδραμούσας γυναῖκας καὶ σκεῦος ἐκλογῆς ὀνομάζειν τὴν ἐκδημήσασαν.

§. 22. Ἐπεὶ δὲ καὶ λουτρὰ προσήχθη καὶ ἡ χρεία τὴν ἐπιτάφιον ἐσθῆτα ἀπῄτει, ἐνταῦθα τῷ ἀνδρὶ τὸ τῆς συζύγου περὶ τὸν ἔλεον γνωρίζεται ἄπληστον καὶ ὅτι μηδὲν ἐκείνη πλὴν τοῦ τελευταίου χιτῶνος ἑαυτῇ καταλέλοιπεν· πρόσεισι γὰρ αὐτῷ παιδίσκη Μαρία τὸ ὄνομα καὶ μηδὲν εἶναι λέγουσα περὶ ἑαυτῇ χιτωνίσκον ἢ ὀθόνιον τῇ μακαρίᾳ συνταφησόμενον, τοῦ δὲ ἀποροῦντος καὶ ζητοῦντος τί ἄρα τοσαῦτα [ἱμάτια] γέγονε καὶ ποῦ δεδαπάνηται, ἡ παιδίσκη τῷ λόγῳ ἐπιδακρύσασα, «εἰσὶ τούτοις ἀπορεῖς, φησίν, ὦ κύριέ μου, καὶ ὅτι μὴ δεύτερον ἐπὶ τῇ ἐμῇ κυρίᾳ θαυμάζεις ἱμάτιον, εἰ μὴ τοῦτο, ὅ ταύτην λούοντες περιενδύσαμεν; Οὐκ [ἦν] ἐκείνης τῆς φιλανθρώπου ψυχῆς ἰδεῖν γυμνὸν καὶ περιϊδεῖν. οὐκ ἦν θεάσασθαι πένητα καὶ παριδεῖν. ἐν τούτοις ἐκεῖνα τὰ πολλὰ κεκένωται. ἐπὶ τούτοις ἐσκόρπισται. σὺ δὲ ζητῶν ὀθόνια καὶ χιτώνια πῶς οὐ περιεργάζῃ τὸ τιμιώτερον, τὸν χρυσόν, φημί, καὶ τὸν ἄργυρον καὶ τὴν ἄλλην πολυτελῆ κτῆσιν, ἣν σφόδρα ζητῶν οὐχ εὑρήσεις· οὐδὲν γὰρ τὴν ἐκείνης

---

1. μάλλα.

δεξιὰν ἐκπέφευγεν, οὐδέν ἐστιν, ὃ τοῖς πένησιν [οὐκ] ἐμερίσατο».

§. 23. Ἤκουσε ταῦτα ἐκεῖνος καὶ οὐδὲν πλέον περιεργάσατο, ἑαυτοῦ δὲ χιτῶνα εἰς γυναικεῖον μεταβληθέντα συνταφῆναι τῇ μακαρία ἐκέλευσεν. ἐπεὶ δὲ ἐπὶ τῆς κλίνης ἐτέθη τὸ ἱερὸν ἐκεῖνο σῶμα, παρῆν μὲν ὁ *ἀρχιερεὺς Εὐθύμιος*, παρῆν καὶ ὁ *οἰκονόμος Ἄνθιμος* καὶ μικροῦ δεῖν πᾶν τὸ πλῆθος τῆς πόλεως. Τότε οὗτος ὁ Ἄνθιμος ὁ οἰκονόμος πάντα τὰ τῆς μακαρίας εἰδώς, ἅτε καὶ ὑπηρετήσας ἐκείνῃ, ἕκαστα διηγεῖται, χήρας ἀπηρίθμει καὶ ὀρφανοὺς καὶ τοὺς ἄλλους δεομένους κατέλεγεν, ὧν οὐδεὶς ἀπῆλθε κενός, ἀλλὰ πάντες τῆς χρείας ἀπώναντο. Ταῦτα λέγων αὐτός τε ἐδάκρυε καὶ τοὺς ἄλλους ἐκίνει(1) πρὸς δάκρυα ἅπαντας· διὸ ὁ κλῆρος ἅπας τὰ ἐπικήδεια εἰς τὴν καθολικὴν ἐκκλησίαν ἀπάγουσι(2) καὶ ἐν ἱερῷ τόπῳ τὸ ἱερὸν σῶμα κατατιθέασιν.

§. 24. Ὁ μέντοι σύζυγος μεθ' ἡμέρας τινὰς τοῦ πένθους ἀπολωφήσαντος ἀνέπτυσσε τὰ κιβώτια καὶ τὰ τῆς ἀπελθούσης ἐζήτει. καὶ ταῦτα μὴ εὑρίσκων τὴν παιδίσκην κληθῆναι ἐκέλευε(3) κληθῆναι καὶ παροῦσαν ἠρώτα ποῦ τὰ τῆς δεσποίνης, ὁ κόσμος, τὰ ἐν λίθοις καὶ μαργάροις ἐνώτια, οἱ χρυσοῖ δακτύλ[ι]οι τὰ σηρικὰ καὶ ποικίλα ἱμάτια;

Ἡ δὲ ἀπεκρίνατο: «τοῖς μὲν αἰχμαλώτοις ἐρρύσατο, τοῖς δὲ χρεῶν ἀπήλλαξε τοὺς ἀποδοῦναι μὴ ἔχοντας, τοῖς δὲ πένητας ἔθρεψε. τὴν δὲ ἐσθῆτα ταῖς ἐκκλησίαις ἀνέθηκε, τῇ μὲν τὰς ἱερὰς τραπέζας καλύψασα, τῇ δὲ τὸν λοιπὸν οἶκον κοσμήσασα». Τότε μόλις τὴν ἀρετὴν τῆς συζύγου ἐκεῖνος ἐμάνθανε. καὶ κατεγίνωσκε μὲν ἑαυτοῦ, κατεγίνωσκε δὲ τῶν κατειπόντων ἐκείνης, ὡς αὐτῶν ἁμαρτόντων, ἀπατησάντων δὲ καὶ αὐτὸν καὶ κοινωνὸν ποιησαμένων τοῦ κρίματος καὶ ἀθλίους μὲν ἐκείνους ἐκάλει, ἑαυτὸν δὲ ἀθλιώτερον.

§. 25. Οὐ πολλαὶ παρῆλθον ἡμέραι—οὐδόλως τετράμηνος χρόνος — καί τις ὑπὸ δαίμονος ἐλαυνόμενος, ὄνομα τῶν δαιμονῶντι Στρατήγιος, τὴν ἐκκλησίαν κατέλαβε καὶ Μαρίαν ἐξ ὀνόματος τοῦ τουρμάρχου ἐκάλει τὴν σύζυγον. Ἐπὶ ταύτης τῆς κραυγῆς συνῆλθεν

1. ἐκείνη.

2. γράφε ἐπάδουσι.

3. ἐπαίδευε.

ἡ πόλις ἅπασα τὸν ἐνοχλούμενον θεασάμενοι. Ὡς δέ ποτε ἀτάκτως βοῶν καὶ κατ' ἔκτασιν κινούμενος(1) ὁ δαίμων ἐπαύσατο, καλεῖ αὐτὸν ὁ ἀρχιερεὺς καὶ πυνθάνεται τίς τε εἴη καὶ πόθεν καὶ παρὰ τίνος πεισθεὶς τὸ δαιμονᾶν ὑποκρίνεται καὶ τοιαῦτα βοᾶν ποιῶν οὐκ αἰσχύνεται. «Ἡμεῖς, φησίν, καλὴν καὶ ἀγαθὴν εἶναι τὴν γυναῖκα ὁμολογοῦμεν καὶ τὸν βίον αὐτῆς σεμνὸν οἴδαμεν· τοιαύτης μέντοι χάριτος ἀξιωθῆναι αὐτὴν [οὐ] πιστεύομεν. τὴν μὲν τῶν θαυμάτων ἐνέργειαν ἁγνοῖς ἀνδράσι καὶ μοναχοῖς ἁγίοις καὶ μάρτυσιν ὁ Θεὸς ἐφιλοτιμήσατο, αὕτη δὲ καὶ ἀνδρὶ συνῴκει καὶ τοῖς ἐν τῷ βίῳ ἀναστροφῆς οὐκ ἐξέστη, οὐδέ τι τῶν ὑπερφυῶν καὶ μεγάλων εἰργάσατο. Πόθεν οὖν αὐτῇ τὸ θαυματουργεῖν»—τισί τὴν ὑπόκρισιν ταύτην ὑπέθετο, ἤ που ὁ τῆς κοιμηθείσης ἀνὴρ ἤ τις ἄλλος κατὰ γένος προσήκων ἐκείνῃ—«ἀλλ' εἰ μὴ παύσῃ <ὁ> τὰ τοιαῦτα σχηματιζόμενος τὴν σκηνὴν ταύτην, αἱ μάστιγες ἀπελέγξουσι καὶ σωφρονεῖν σε διδάξουσιν».

§. 26. Ἐπὶ τούτοις ὁ ἄνθρωπος τὰς ἑαυτοῦ ἁμαρτίας ᾐτιᾶτο, δι' ἅς παραδοθεὶς(2) τῷ δαίμονι [ἦν] καὶ οὐ πλάσμα εἶναι τὴν ἔκτασιν, ἀλλ' ἀληθῆ παραφορὰν ἰσχυρίζετο. πλὴν ἀλλὰ καὶ τὴν θεραπείαν ἐντεῦθεν εὑρεῖν ἔλεγεν καὶ τοῦ ἄγοντος ἀπαλλαγήσεσθαι δαίμονος· κἄν μὴ τοῦτο γινόμενον ἴδοιεν,(3) ποιεῖν αὐτῷ τὸ δοκοῦν κατετίθετο. Ταῦτα λέγων τὸν ἀρχιερέα οὐκ ἔπειθε· διὸ μετὰ ἀπειλῶν ἀπελύετο. Παραλαβὼν δὲ ὁ τῆς μακαρίας ἀνὴρ τοῦτον εἶρξεν, ἀνέκρινεν, ἐβασάνιζε. «καὶ τίς ὁ ὑποβαλών, ἠρώτα; πόθεν δὲ μαθὼν ὀνομασεί, φησίν, τὴν ἐμὴν καλεῖς σύζυγον; Τάχα που τῶν συγγενῶν ἐκείνης ὑποβολὴ τὰ πραττόμενα. ἀλλ' οὐκ εἰς καλὸν ἀπολαύσεις τῆς τόλμης, μέμψαιο δ' ἂν καὶ τοῖς ὑποθεμένοις, εἰ μὴ ταχὺ ἐντεῦθεν ἀπαλλαγείης».(4) Ἀπεκρίθη πρὸς ταῦτα ὁ ἄνθρωπος: «οὐκ ἦλθον εἰς ὄψιν τῆς συζύγου ποτέ, τοὺς συγγενεῖς αὐτῆς οὐκ ἐπίσταμαι, ἵν' ἐκείνοις χαριζόμενος τὰ τῶν δαιμονώντων, ὡς φῄς, ὑποκρίνωμαι. ἀλλ' ἔστι τις δαίμων ἄγριος, ἄγει με (5) ὅπου μὴ βούλομαι, ὑφ' οὗ κἀνταῦθα ἐλαυνόμενος παραγέγονα. Μὴ οὖν ἀπείλει με,(6) ἀλλὰ μεῖνον μικρὸν καὶ ὄψει δόξαν Θεοῦ· οὐ γάρ[μόνον]δαίμονες ἐνταῦθα φυγαδευθήσον-

1. κοινούμενος καὶ ἀνωτ. κοινῶν ἀντὶ κινῶν ἔγραψεν.
2. παραδοθῆσι.
3. ἴδηεν.
4. ἀπαλαγίεις.
5. ἄγωμαι.
6. ἀπείλημοι.

ται ἀλλὰ καὶ ποικίλα νοσήματα ἰαθήσονται, ἐν ἐμοὶ δὲ Θεὸς δοξασθήσεται. κἂν τοῖς ἐμοῖς ῥήμασι [μὴ]συμβαίνοντα τὰ πράγματα ἴδητε, ἰδοὺ ἐγὼ πασχειν ὅ,τι ἂν εἴη κατὰ γνώμην ὑμῶν ἕτοιμός εἰμι».

§. 27. Ταῦτα εἶπε καὶ ὁ Νικηφόρος καὶ θαμβωθεὶς(1) ἐσιώπησε μήτε πιστεύειν βεβαίως, μήτε ἀπιστεῖν ἔχων, ἀλλ' ἐν μεταιχμίῳ(2) πίστεώς τε καὶ ἀπιστίας ἑστὼς καὶ καραδοκῶν τὸ ἀποβησόμενον. Τί οὖν; ἐπὶ πολλὰς ἡμέρας ὁ δαιμονῶν τὸν τάφον τῆς ἁγίας κατελάμβανεν ἐλαυνόμενος. Ποτὲ δὲ Κυριακῆς οὔσης καὶ τῶν ἑωθινῶν ὕμνων ἐπᾳδομένων καὶ πάσης σχεδὸν συνηθροισμένης τῆς πόλεως ἔπασχε μὲν ὁ ἄνθρωπος τὰ δοκοῦντα τῷ δαίμονι, ἐγγίσας δὲ τῷ τάφῳ τῆς μακαρίας τὸν ἐπικείμενον λίθον κουφίζειν ἠπείγετο καὶ ἄλλους ἐκάλει βοηθούς, ὡς τῇ ἁγίᾳ δοκοῦν ἀνοιγῆναι τὸν τάφον καὶ τὸ δαιμόνιον ἀφιέναι τὸν ἄνθρωπον. καὶ δὴ τοῦ συζύγου τῆς μακαρίας βοηθεῖν ἐπιτρέψαντος ἤρθη μὲν ὁ λίθος, ὁ δαιμονῶν δὲ τὴν θύραν(3) ἀποσπάσας τῆς λάρνακος μακρὰν αὐτῆς ἐξηκόντισεν. εἶτα προσκεκυφὼς τῷ λειψάνῳ τῆς μακαρίας τὴν δεξιὰν ἐκείνης προσῆγε τῷ στόματι. κἀντεῦθεν εἰς ἐμετὸν κινηθεὶς τὸ μὲν φαινόμενον πηγὴν ἐνέπτυσεν αἵματος, ἀοράτως δὲ καὶ τὸν ἐνοχλοῦντα συνεξέπτυσε δαίμονα.

§. 28. Ἔκπληξις πάντας κατέσχεν ἐπὶ τῷ θαύματι καὶ αὐτὸν δὴ τὸν ἀρχιερέα Εὐθύμιον. ἐγκύψαντες δὲ τῷ τάφῳ σῶαν μὲν εἶδον τὴν μακαρίαν κειμένην, ὀσμὴν δὲ εὐωδίας ἐκπεμπομένης ἐδέχοντο. Προσχόντες ἀτενέστερον αἷμα περὶ τὸ ταύτης ὁρῶντες(4) πρόσωπον. Καί τις τῶν κληρικῶν παρὰ τοῦ δαιμονῶντος ἀποπτυσθῆναι νομίσας τοῖς ὀθονίοις τῆς ἁγίας ἐκμάσσειν τοῦτο ἐπιχειρεῖ. τὸ δὲ ἄρα ἐκ τῶν μυκτήρων ἐκείνης ἐπήγαζεν καὶ τοῦτο ζωτικόν, καὶ μετὰ δακρύων ἐδόξαζον τὸν Θεόν, τὸν μέγα τῇ πόλει ἀγαθὸν ἀναφήναντα.(5) Τούτου δὲ γεγονότος τοῦ θαύματος ὁ μὲν ἄνθρωπος ἐκεῖνος τοῦ πονηροῦ πνεύματος ἀπαλλαγεὶς εἰς τὸν οἶκον ἀπήει, μὴ σιωπῶν, ἀλλὰ μάρτυς τοῦ θαύματος ὢν [καὶ] διὰ γλώττης αὐτοῦ τὴν εὐεργεσίαν τῆς μακαρίας ἐκήρυττεν. Ἐντεῦθεν δὲ πολὺ πλῆθος τῶν ἀσθενούν-

1. θαμβηθείς.
2. ἀλλ' ἦν μεχμίῳ.
3. τῆς θύρας.
4. δρῶντες, ἀντὶ ἑώρων.
5. τὸν θεὸν τῷ μέγα... ἀγαθὸν ἀναφήναντι.

των τῷ τάφῳ προσέρρεον(1) καὶ τῆς θεραπείας ἀπολαύοντες ὑπέστρεφον οἴκαδε, τυφλοὶ μὲν τὸ βλέπειν ἀπολαμβάνοντες, κωφοὶ δὲ τὸ ἀκούειν, οἱ δὲ τὰς φρένας ἀπολωλοκότες τὴν κατὰ φύσιν ἐνέργειαν, αἱ δὲ πνευματιζόμενοι,(2) οἵ καὶ ἀριθμῷ κρείττονες, τὴν ἀπαλλαγὴν τοῦ πειράζοντος.(3) Πάντα μὲν οὖν καταλέγειν ἀδύνατον, ὀλίγα δὲ ἐκ πολλῶν εἰς ἔνδειξιν τῆς δοθείσης τῇ μακαρίᾳ χάριτος διηγήσομαι.(4)

§. 29. Γυνή τις ἐπὶ θυγατρὶ τὸν βίον σαλεύουσα(5) καὶ ταύτην ἰδοῦσα τῶν φρενῶν [αὐτῆς] ἐκστᾶσαν οὕτως, ὡς καὶ τὰ οἰκεῖα περιττώματα(6) καὶ τὴν δυσώδη κόπρον συλλέγειν καὶ ἐσθίειν, οὐκ εἶχεν ὅ τι ἄλλο καὶ δράσειεν, μᾶλλον δὲ πάντα ὡς εἰκὸς(7) ἔδρασε. κενὰ δὲ πάντα ἐλέγχετο (sic). Τέλος πάντων ἀπογνοῦσα καὶ τοῖς ἰατροῖς χαίρειν εἰποῦσα ἐπὶ τὴν ἁγίαν μετὰ τοῦ θυγατρίου κατέφυγεν. καὶ δὴ ἔλαιον [ἀπὸ] τὴν ἐπὶ τῷ τάφῳ φωταγωγοῦσαν λαμβάνουσα καὶ τὴν ἔκφρονα θυγατέρα χρίουσα ὑγιᾶ ταύτην ἐν ὀλίγῳ κομίζεται καὶ μετ' αὐτῆς ἐμφρόνως τὸν τῆς ἁγίας Θεὸν διετέλει δοξάζουσα. Τὸ αὐτὸ δὲ καὶ τυφλός, ἦλθε μὲν χειραγωγούμενος, ἀπῄει δὲ βλέπων ἐλαίῳ μόνῳ χρισάμενος, καὶ τοῦ λοιποῦ καθ' ἕκαστον χρόνον ἐπὶ τὸν τάφον τῆς μακαρίας ἐβάδιζε τῷ Θεῷ καὶ ταύτῃ(8) θύειν τὰ χαριστήρια.

Γυνὴ δέ τις δαίμονα ἔχουσα καὶ ἐν τῇ τῆς ἁγίας προσαχθεῖσα σορῷ ἐξ αὐτῆς τὴν ἀπαλλαγὴν τοῦ κακῶς αὐτὴν κινοῦντος πνεύματος εὕρατο.

Οἷα δὲ καὶ τὰ τοῦ ἱερέως, ὃς καὶ ἁλύσεσι καὶ πέδαις(9) μόλις κατείχετο ὑπὸ τοῦ δαίμονος ἐλαυνόμενος. ἐνταῦθα δὲ φοιτήσας τοῦ ἐνοχλοῦντος ἀπήλλακτο. τὸ αὐτὸ ὕστερον καὶ μονάζουσα εὕρατο, —[ἥτις] ἦν ἐκ Βουλγαρίας ὑπὸ τοῦ κινοῦντος ἀχθεῖσα πνεύματος— ταύτην ἐλευθέραν ὑπὸ τοῦ κατέχοντος ἡ ἁγία ἐξέπεμψεν.

---

1. Πρὸς ἔρρεον.
2. Πνευματιζόμενοι οἱ ὑπὸ πονηροῦ πνεύματος βασανιζόμενοι.
3. κολάζοντος.
4. κῶδιξ ἐνταῦθα ἔχει : «στάσις δευτέρα» διότι οἱ βίοι τῶν ἁγίων ἀνεγινώσκοντο εἰς τοὺς ναοὺς καὶ διῃροῦντο εἰς τεμάχια μικρότερα.
5. σαλεύουσα=ἐν σάλῳ διάγουσα.
6. περιπτώματα.
7. εἰκῶς.
8. ταύτην.
9. παῖδες.

Τί δὲ τοῖς μὲν δαιμονῶσιν ἐντεῦθεν ἀπαλλαγὴν εὑρίσκειν ἐξῆν, τοῖς δ' ἄλλως χρήζουσιν ὠφελείας οὐκ ἦν ἡ χάρις ἀκόλουθος; πολλοῦ γε καὶ δεῖ ἀμέλει.

§ 30. Γυνή τις ἐκ Καραβιζύης[1] τῆς φήμης πανταχοῦ περιαγούσης τὴν μακαρίαν τῷ τάφῳ πρόσεισι. καὶ ἐπειδὴ τῆς θήλης αὐτῆς ἀποψυγείσης, οὐκ εἶχεν, ὅπως θρέψῃ τὸ ἑαυτῆς[βρέφος], πηγὰς ἐξαιτεῖ γάλακτος καὶ λαμβάνει καὶ χαίρουσα ἐπάνεισιν οἴκαδε. Ἑτέρα δὲ αὖθις ᾔτησε μὲν τὴν αὐτὴν χάριν καὶ ἔλαβεν. ἀναχωρήσασα δέ, καί τι περιχολεύσασα (=πικρανθεῖσα) ξηροὺς αὖθις τοὺς μαστοὺς εἶχε καὶ ἀνίκμους καθώσπερ καὶ πρότερον. παραλυτικοὶ δὲ ἐν μιᾷ ἡμέρᾳ παρὰ τὸν τάφον ἀχθέντες ἐν αὐτῇ τῆς τελείας ὑγείας ἀπήλαυσαν. Γυνή τις τυφλὴ προσδραμοῦσα καὶ ἀπὸ τῆς παρὰ τῷ τάφῳ φωταγωγοῦ ἔλαιον ἅγιον ἐπιχρισθεῖσα τοὺς ὀφθαλμοὺς τὸ βλέπειν ὀρθῶς ἀπέλαβεν. Γυνή τις βρέφος ἐν ταῖς ἀγκάλαις φέρουσα ὑπομάζιον δαίμονι συνεχόμενον καὶ κακῶς βασανιζόμενον ὑπ' αὐτοῦ τῷ τάφῳ τῆς μακαρίας προσέδραμε καὶ αὐτὸ πρὸς τοῖς ποσὶν αὐτῆς μετὰ δακρύων ἐκ θερμῆς τῆς πίστεως ῥίψασα καθαρὸν τοῦ ἐνοχλοῦντος πνεύματος ἀπελάβετο, καὶ μυρία τοιαῦτα καθεκάστην ἐνηργεῖτο τεράστια.

§. 31. Ἦλθε καὶ εἰς τὴν πόλιν Ἀρκαδίου τὰ τελούμενα θαύματα. καὶ γυνή τις τῶν εὐλαβῶν μονῆς ἡγουμένη—τῆς Καχλακίνης τὴν μονὴν ὀνομάζουσιν—ἐπιθυμεῖ τῷ τάφῳ παραβαλεῖν τῆς μακαρίας καὶ ἰδεῖν τι τῶν ᾀδομένων. καὶ δὴ δύο λαμβάνει τῶν μαθητῶν καὶ τὴν ἐπὶ Βιζύης ὁδεύει· συνείπετο δὲ καὶ ὁ κλῆρος. εἶδον τὸν κληρικὸν ὑπὸ δαιμονίου ἀγχόμενον. καὶ τέως μὲν ἡ γυνὴ παρὰ Νικηφόρῳ καταλύει τῷ τῆς μακαρίας ἀνδρί. τῇ δ' ἑξῆς ἐπὶ τὸν τάφον ἔρχεται καὶ τῆς θείας τελουμένης μυσταγωγίας, ὥσπερ ἐκ συνθήματος πέντε τινὲς δαιμονῶντες ὁμοῦ συντρέχουσι καὶ ἄσεμνά τινα καὶ παράφορα συντρέχουσι καὶ ἄσεμνά τινα καὶ παράφορα κράζοντες τὸν τάφον ἀνοίγουσι. καὶ ὁ μὲν τὴν χεῖρα, ὁ δὲ τὸν πόδα, ἄλλοι δὲ καί τι τῶν ἐνταφίων τῷ στόματι προσαγαγόντες πάντες εὐθὺς σωφρονοῦντες καὶ καθεστηκότες ἐφαίνοντο. Θαυμάζει τὸ πρᾶγμα καὶ ἡ γυνὴ καὶ δὴ κύψασα, ὥστε τὸ ἱερὸν σῶμα πιστῶς ἀσπάσασθαι ὁρᾷ τὸ ἐπὶ τῆς κεφαλῆς σπουδάριον θατέρᾳ παρειᾷ προσκεκολλημένον. ὡς δὲ κατασχοῦσα διϊστᾶν ἐπεχείρει, σταγὼν ἐκεῖθεν ἔρρευ-

1. ἄγνωστός μοι ἡ πόλις.

σεν[1] αἵματος. καὶ ἡ γυνὴ τὸ θαῦμα ἐπέτεινε καὶ «ὄντως οἱ ἅγιοι ζῶσιν» ἐξεβόησεν. εἰς ῥάκος μέντοι τὸ αἷμα ἐκμάξασα [εἰς] τὴν Ἀρκαδίου πόλιν[2] ἐπεδείκνυτο καὶ τὸ θαῦμα τοῖς ἀγνοοῦσιν ἐκήρυττεν.

§. 32. Ἐφάνη τότε καὶ τῷ συζύγῳ καθ' ὕπνους ἡ μακαρία καὶ οἶκον αὐτῇ ἀνοικοδομῆσαι εὐκτήριον, κἀκεῖσε τὸ λείψανον αὐτῆς μετατεθῆναι ἐπέσκηπτεν, ἵνα θεωρεῖν ἔχω, φησίν, τὰ φίλτατα. ὁ δὲ ἄλλως τὸ ὄνειρον κρίνας τὸ πρᾶγμα ἠμέλησεν. Βραχὺ τὸ ἐν μέσῳ καὶ τὴν παιδείαν ἐνδικωτάτην ἐδέξατο· ἀνεῳγμένων γάρ αὐτοῦ τῶν ὀφθαλμῶν οὐχ ἑώρα. Ἐντεῦθεν εἰς συναίσθησιν ἔρχεται καὶ τὴν αἰτίαν τοῦ πάθους οὐκ ἄλλην εἶναι ἢ τὴν παρακοὴν μανθάνει. Πλῆθος οὖν πολὺ συναθροίσας παρὰ τὸν παρακείμενον λόφον ὀρύττειν ἐκέλευε καὶ λίθους τετραπόδους μετακινεῖν· ἐπεὶ δὲ ἡ ὀρυγὴ ἀρχὴν εἶχεν, ἀμυδρὸν καὶ αὐτὸς τὸ φῶς ἀπέλαβε. ταύτης δὲ προϊούσης τρανώτερον ἑώρα καὶ τοῦ ἔργου ἀκμάζοντος τέλεον ἀνέβλεψεν. Κἀντεῦθεν πάσῃ σπουδῇ πρὸς τὴν οἰκοδομὴν ἐκέχρητο.

§. 33. Ὡς δὲ ὁ ναὸς ἀπήρτιστο προσαφιερωθεὶς τῷ ἀρχιεπισκόπῳ καὶ τὴν μετάθεσιν τοῦ σώματος ἤδη γενέσθαι πρέπον εἶπεν, σὺν τοῖς αὐτοῦ τὴν καθολικὴν ἐκκλησίαν ὁ Νικηφόρος ἐπὶ τούτῳ καταλαμβάνει. ἀλλ' οὐκ ἤρεσκε τοῦτο τοῖς τοῦ κλήρου. Ἔνθεν τοι[3] καὶ ***τῷ ἀρχιεπισκόπῳ Εὐθυμίῳ*** ἐξώρμησαν.[4] Δείσας οὖν ὁ Νικηφόρος τὴν στάσιν καὶ ὅσα τῇ στάσει ἕπεται, τὸ μὲν τέως ἡσύχασε. καιρὸν δὲ ἐπιτηρήσας, καθ' ὃν ὁ ἀρχιεπίσκοπος οὐ παρῆν καὶ ἄνδρας παραλαβὼν ὡσεὶ τεσσαράκοντα καί τισιν ὀλίγοις ἐντυχὼν κληρικοῖς, οἳ τὴν ἀντίστασιν οὐκ ἐθάρρησαν, εἰργάσατο τὴν μετάθεσιν. ἐπεὶ δὲ τῷ ναῷ ἐναπετέθη τὸ λείψανον, γυνή τις πνεύματι πονηρῷ κάτοχος τὴν λάρνακα ἀναπτύξασα τῆς ἁγίας τὸν μέγαν τοῦ ταύτης ποδὸς ἐπίεζε δάκτυλον. καὶ τὸ μὲν αἷμα ἐρρύη, ἡ δὲ γυνὴ βραχύ τι καλινδηθεῖσα[5] περὶ τὴν γῆν ὑγιὴς ἀνέστη καὶ κακῶν ἀπαθὴς ἐπορεύετο.

---

1. ἔρασεν.
2. Ἀρκαδίου πόλις ἡ Ἀρκαδιούπολις νῦν Λουλὲ—Μπουργάζ, ἐξάωρον ἀπέχουσα τῆς σιδηροδρομικῆς γραμμῆς Κωνσταντινουπόλεως—Ἀδριανουπόλεως ἐν τῇ ὁμωνύμῳ πεδιάδι. Εἶναι ἡ τέως Βεργούλη ὀνομαζομένη, ἀνακτισθεῖσα δὲ ὑπὸ τοῦ Μ. Θεοδοσίου ἔλαβε τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ, ἢ καὶ ὑπὸ τοῦ ἰδίου Ἀρκαδίου.
3. ἐνθέντι.
4. ὁ Εὐθύμιος ὡς Βιζύης ἀρχιεπίσκοπος τῷ 902 εἶναι γνωστὸς ἐκ τοῦ IV τόμου Acta ss. τοῦ Νοεμβρίου, σ. 697—8.
5. καλὶν δηθῆσα.

§ 34. Ἐν τούτοις καὶ περὶ τὸν Ῥαιδεστὸν(¹) ἐγκλείστῳ τινὶ ζωγράφῳ καθ' ὕπνους φαίνεται λευκὴν ἠμφιεσμένη στολὴν καὶ ὠμοφόριον ἐρυθρὸν ἐπὶ κεφαλῆς, λαμπάδα τε κατέχουσα ἐπὶ τῇ δεξιᾷ ἁπτομένην, ἐν ᾗ ἐπεγέγραπτο «ἡ λαμπὰς τῆς ἐλεημοσύνης». καὶ παῖδες δύο προηγοῦντο ταύτης ὡραῖοί τε καὶ περικαλλεῖς, καὶ ἑπομένη κόρη παρῆν τῷ εἴδει χαρίεσσα.(²) Ἐφιστᾶσαν δὲ ἠρώτα ταύτην τίς τε εἴη καὶ πόθεν ὡς αὐτὸν παραγέγονεν. ἡ δὲ ἱλαρᾷ καὶ μειδιώσῃ φωνῇ πρὸς αὐτὸν ἀπεκρίνατο. «Ἐγώ εἰμι Μαρία ἡ ἐκ Βιζύης τῆς πόλεως, περὶ ἧς πολλὰ μὲν ἀκήκοας, οὔπω δὲ μέχρι τῆς νῦν ἐθεάσω με.(³) Τὴν ἐμὴν οὖν εἰκόνα, καθὼς με ἄρτι <ὡς> ὁρᾷς ζωγραφήσας σὺν τοῖς ἐμοῖς παισὶν Ὀρέστην καὶ Βαρδάνην(⁴) καὶ τῇ ἑπομένῃ παιδίσκῃ Ἀγάθῃ πέμψον εἰς τὴν πόλιν Βιζύην. Διϋπνυσθεὶς δ' ὁ γέρων καὶ γνοὺς ὡς βουλητὸν τοῦτο τῇ μακαρίᾳ τὴν εἰκόνα καθὼς κατὰ τοὺς ὕπνους ἑώρακεν ἐκπληρώσας ἀσμένως πέμπει ἐκ Ῥαιδεστοῦ ἐν Βιζύῃ παρὰ τὸν ἐξεγερθέντα ναὸν ὑπὸ τοῦ ταύτης ἀνδρός. οἱ δὲ τὸ εἶδος αὐτῆς ἔτι ζώσης εἰδότες θεασάμενοι τὴν εἰκόνα θαύματος ἐνεπλήσθησαν καὶ αὐτὴν εἶναι ἐκείνην τὴν μορφὴν αὐτῆς τε καὶ τῶν παίδων διωμολόγησαν.

§ 35. Ἐντεῦθεν μοναχοί τινες φθόνῳ μᾶλλον ἢ ζήλῳ νικώμενοι ἐπὶ τοῖς τελουμένοις θαύμασιν ἔλεγον: « οὐ δύναταί τις ἐν κόσμῳ, κρεωφαγῶν τε καὶ ταῖς τῆς συζυγίας ἡδοναῖς ἐνηδόμενος θαυματουργίας παρὰ Θεοῦ δέξασθαι χάρισμα. τῶν μοναχῶν δὲ στερουμένων πάντων τῶν ἡδέων καὶ κακουχουμένων καὶ θλιβομένων ἐν ἅπασιν, πρὸς δὲ καὶ νυκτὸς καὶ ἡμέρας προσκαρτερούντων ὕμνοις καὶ μὴ ἀξιουμένου τινὸς(⁵) τοιούτου χαρίσματος». Ταῦτα δὲ ἔλεγον μὴ εἰδότες, ὡς ὅ τις ἐπηγγείλατο εἰς τέλος ἀνύσας τῆς ἐπ' αὐτῷ δωρεᾶς καὶ κατακρίσεως αἴτιον ἑαυτὸν καθιστᾷ ὡς ψευσάμενος εἰς τὸν πρὸς ὃν ἐπηγγείλατο· αὕτη μὲν γὰρ ἡ μακαρία Μαρία, τὸ θαῦμα τῆς καθ' ἡμᾶς γενεᾶς, ὅσα ἐν τῷ ἁγίῳ βαπτίσματι ἐπηγγείλατο, διετήρησε μέχρι τέλους ἀνόθευτα, ὅπέρ ἐστιν πάντως τῆς τῶν κοσμικῶν τελειότητος. Ἡ δὲ προσέθετο καὶ τοῦτο σὺν ἄλλαις οὐκ ὀλίγαις

1. τὸν Ῥαιδεστόν. συνήθως εἶναι γένους θηλυκοῦ, ὅπερ καὶ ἐπεκράτησε νῦν.

2. τῷ ἤδη χαρίσασα.

3. θεάσομαι.

4. σὺν τοῖς.... παισὶν Ὀρέστην καὶ Βαρδάνην, ἀντὶ Ὀρέστῃ καὶ Βαρδάνῃ.

5. ἀξιουμένων τινός.

ἀρετῶν ἰδέαις, τὴν ἐλεημοσύνην, ἡ πάντων τῶν ἀρετῶν μάλιστα τὸν ἄνθρωπον ἀνυψοῖ, ὡς καρπὸς ὑπάρχουσα τῆς ἀγάπης, ᾗ καὶ Θεὸς ἐπευφραίνεται μᾶλλον καὶ αὐτὸς αὐτὸ τοῦτο ἀγάπη[ν] ὀνομάζεσθαι βούλεται. ὃς δ' ἂν ἓν ἐπάγγελμα ψεύσαιτο([1]) καὶ δευτέρου ἀψάμενος ἐπιψεύσοιτο, πῶς ἂν οὗτος ἐκ δωρεᾶς Θεοῦ γέρας ἐνέγκοιτο. ἀλλὰ ταῦτα φιλοσοφεῖν οὐ τοῦ παρόντος καιροῦ.

§ 36. Ἥψατο δὲ τῆς ἀπιστίας τὸ πάθος καὶ ***τοῦ τῆς Βρύσεως ἐπισκόπου*** Στεφάνου,([2]) καὶ πλάσμα εἶναι τὰ περὶ τῆς ἁγίας λεγόμενα παράδοξα ἐλογίζετο, τὸν γάμον καὶ τὸν πλοῦτον καὶ τὴν δόξαν τὴν κοσμικὴν κωλύματα([3]) τοῦ ὕψους τῆς ἁγιότητος εἶναι τιθέμενος. Τί οὖν γίνεται; καὶ πῶς τῷ ἀνδρὶ τὰ τῆς ἀμφιβολίας ἐλύετο; Γυνή τις δαιμονῶσα—ὄνομα τῆς γυναικὸς Ζωὴ—ἕβδομον([4]) εἶχεν ἔτος τῷ ναῷ προσεδρεύουσα. καὶ ἄλλους μὲν ἑώρα θεραπευομένους, αὐτὴ δὲ ἀθεράπευτος ἔμενεν. ἀλλ' ὅμως οὐκ ἀπέστη χρηστὰς ἔχουσα τὰς ἐλπίδας. Ἐτελεῖτο γοῦν ποτε ἡ θεία μυσταγωγία καὶ ἡ γυνὴ τῆς λάρνακος ἀποστᾶσα τοῦ ἐπισκόπου ἐδράξατο καὶ τὴν λάρνακα προσδεικνῦσα ἀνοιγῆναι ταύτην ἱκέτευεν· τοῦτο γάρ κελεύειν [ἔλεγε] τὴν μακαρίαν, ὥστε τὸ ἐνοχλοῦν θεραπεῦσαι δαιμόνιον. Θάμβος ἐπὶ τούτοις τὸν ἐπίσκοπον εἶχεν. ὁ δὲ νεωκόρος καὶ ὅσοι παρῆσαν ἱκέται τούτου ἐγένοντο καὶ τὴν κλεῖδα τῆς λάρνακος παρὰ τοῦ συζύγου τῆς μακαρίας ἠξίου λαβεῖν. Γέγονε ταῦτα. καὶ ἡ δαιμονῶσα τὴν ἐπιβεβλημμένην τῇ λάρνακι σινδόνα διατινάξασα ἑνὶ τῶν ἱερέων προσέρριψεν. εἶτα τῆς λάρνακος ἀνοιγείσης περιχαίνει τὴν δεξιὰν τῆς ἁγίας καὶ δι' ἐμετοῦ λαμβάνει τὴν ἴασιν([5]), καὶ ὁ ἐπίσκοπος δι' ἑαυτὸν εἶπε τὸ θαῦμα γενέσθαι, ἵνα τοὺς τῆς ἀμφιβολίας λογισμοὺς ἀπορρίψῃ. Ἀσπασάμενος οὖν τὸ ἱερὸν λείψανον καὶ σῶον αὐτὸ καὶ εὐῶδες κατανοήσας ἀπῆλθε θαυμάζων.

§ 39. Ἡ μέντοι θεραπευθεῖσα γυνή, ἐπειδὴ μετὰ τὴν θεραπείαν οὐκ ἐσωφρόνει, ἀλλ' εἰς τρυφὰς καὶ μέθας καὶ τὴν ἑπομένην ἀκολασίαν ἐξώκειλεν, ἑνὸς παρελθόντος ἐνιαυτοῦ πάλιν ὑπὸ τοῦ δαίμονος

---

1. ψεύσοιτο.
2. ὁ Στέφανος ἦν Βρύσεως ἐπίσκοπος ὑπὸ τὸν Ἡρακλείας περὶ τὸ 909, Act. sanct. ἔνθ' ἀνωτ. Ἡ Βρύσις εἶναι τὸ νῦν Μπουνάρ Χισάρ.
3. καλύματα.
4. εὔδομον.
5. Ἐνίοτε ὁ ἐμετὸς συμβολίζει, ὅτι τὸ δαιμόνιον ἐξῆλθεν ἀπὸ τὸν πάσχοντα καὶ ἰάθη οὗτος.

καταλαμβάνεται καὶ γίνεται αὐτῇ τὰ ἔσχατα χείρονα τῶν πρώτων. οὐκέτι γάρ τὸ κακὸν ἰάσιμον(1)ἦν. οὐκ ἔμελλον δὲ οὐδὲ οἱ τῆς μακαρίας κατήγοροι τὸν τῆς δίκης ὀφθαλμὸν λήσεσθαι,(2) οὐδ' ἀτιμώρηρητοι παρελθεῖν, εἴτε τοῦ Θεοῦ κἀντούτῳ τιμῶντος ἐκείνην, εἴτε καὶ αὐτῆς ἐπειδὴ παθεῖν τι τοὺς διαβάλλοντας ἔδει, ἐνταῦθα κολασθῆναι τούτους δοκιμασάσης, μᾶλλον δὲ παιδευθῆναι, ἵνα μὴ ἐκεῖ τὰς εὐθύνας ὑπόσχωσιν. Τίς δὲ ἡ παίδευσις;

§ 38. Ἑλένην τὴν ἀδελφὴν ὁ Νικηφόρος, ἐφ' ᾧ τὰ κατὰ τὸν οἶκον διοικεῖν, προσελάβετο. ταύτῃ δὲ καὶ ἡ θυγάτηρ Σοφία συνῆν καί ποτε κατ' ὄναρ(3) τῇ κόρῃ ἡ μακαρία ἐφίσταται καὶ σχετλιάζειν ἐδόκει, εἰ κυριεύειν αὐτὴ τῆς οἰκίας ἡ Ἑλένη δόξῃ, καὶ ἀναχωρεῖν αὐτὴν ἐκεῖθεν ἐκέλευσεν, εἰ μὴ βούλοιτο ἐκστῆναι καὶ ἄκουσα. Εἶπεν ἡ κόρη τῇ μητρὶ τὰ τῆς ὄψεως, ἐκείνη δὲ οὐ προσέσχεν. Εἶτα οὐ πολλαὶ παρῆλθον ἡμέραι καὶ ἡ κόρη ἀθρόον δριμεῖαν ὀδύνην ἐνσκῆψαι τῷ τένοντι φήσασα κἀκεῖθεν εἰς τὴν καρδίαν διαταθῆναι.(4) Μετὰ τρεῖς ἡμέρας τῇ ὀδύνῃ ἐναπεβίω. ἦσαν δὲ τῇ Ἑλένῃ καὶ ἕτεραι δύο θυγατέραι (sic). κατὰ τῆς μακαρίας καὶ αὗται λυττήσασαι καὶ τῆς διαβολῆς τῇ μητρὶ κοινωνήσασαι αἳ καὶ ὑπὸ δαιμόνων ἀγχόμεναι μέχρι θανάτου διέμειναν. Καὶ ὁ Δρόσος δέ, ὃν καὶ αὐτὸν κατήγορον τῆς ἁγίας ὁ λόγος ἐδήλωσεν, ὑπὸ Νικηφόρου ἀπωσθεὶς πρῶτα μὲν ἐσχάτως πενόμενος διετέλεσεν, ὡς μηδὲ τῆς ἐφημέρου τροφῆς εὐπορεῖν, εἶτα πλευρίτιδι τὸν βίον κατέλυσεν. Ἀλέξιος δὲ ὁ τοῦ Νικηφόρου ἀδελφὸς ἄκρᾳ πενίᾳ συνέζησεν, ὡς μὴ δεύτερον ἔχειν χιτῶνα καὶ τέλει κακῷ(5) τὸν βίον ἀπήλλαξεν.

Ἔφθασε δὲ καὶ ἐπ' αὐτὸν τὸν Νικηφόρον ἡ ἀνταπόδοσις. ἐσχόλαζε μὲν γάρ κυνηγεσίαις. λαγωοῦ δέ ποθεν καὶ ἐκθηρῶν(6) μετὰ πολλῶν καὶ αὐτὸς ἐκείνῳ συγκατηνέχθη. Τοῦ δ' ἵππου, ᾧ ἐπωχεῖτο περιολισθήσαντος καὶ ὁ δεξιὸς ὦμος τὰς οἰκείας ἕδρας ἐκπέπτωκε καὶ ἡ δεξιὰ τοῦ λοιποῦ παντάπασιν ἀνενέργητος(7) ἔμεινεν.

---

1. ἰάσημον, ἀεὶ οὕτως.
2. λύσασθαι.
3. κατόναρ.
4. διατεθεῖναι.
5. τέλει κακῶς.
6. τὸ χωρίον νοσεῖ. φαίνεται ἡ αἰφνηδία τοῦ λαγωοῦ ἐμφάνισις ἐπέφερε τὸ δυστύχημα ἀνατιναχθέντος τοῦ ἵππου.
7. ἀνενεργείας.

§ 39. Πολλῶν δὲ πολλαχόθεν([1]) συρρεόντων ἐπὶ τῆς σεβασμίας σοροῦ τῆς μακαρίας κἀκεῖθεν δαψιλῶς ἀρυομένων([2]) τὴν ἴασιν,([3]) οὐκ οἶδα, ὅπῃ, τῆς τῶν θαυμάτων διηγήσεως τραπῶμεν. κατὰ μέρος([4]) μὲν γὰρ πάντα ἐκδιηγήσασθαι οὐκ ἂν γένοιτό μοί ποτε, παραλιπεῖν δὲ πάντα ζημίαν μὲν ταῖς φιλοθέαις ἀκοαῖς προξενήσω ἂν καὶ ἐμαυτῷ μεγάλην τὴν ἀπὸ Θεοῦ ἀγανάκτησιν· τὰ γὰρ ἔργα τοῦ Θεοῦ ἀνακηρύττεσθαι ἄξιον. Ἔνθεν τοι καὶ ὀλίγα ἐκ πολλῶν ἐκδιηγησάμενοι εἰς τέλος τὸν λόγον ἀνάγωμεν. Ἀνήρ τις Σωφρονᾶς([5]) τοὐπίκλην σφοδρῶς ὑπὸ ἀκαθάρτου ἐλαυνόμενος πνεύματος.([6]) ἦν δὲ ὁ ἀνὴρ ἀτάκτως κινούμενος, τοὺς ὀφθαλμοὺς διαστρέφων, τὰς σάρκας ἐσθίων, μηδὲν τὸ παράπαν εἰς κάλυμμα τῆς σαρκὸς προσδεχόμενος ἔνδυμα τὴν κεφαλὴν ἔχων αὐχμηρὰν([7]) ὑπὸ τῆς μακρᾶς ἀλουσίας, ἄνωθεν ἑλκομένας τὰς τρίχας. μυρίων κακῶν ἄν τις εἴποι([8]) μεστός. Πρὸς τὸν ἐξ αἵματος(sic) ἐν τῷ τάφῳ τῆς μακαρίας βιαίως φέρεται κἀκεῖθεν ἐλαίῳ ἁγίῳ τῷ μετώπῳ ἐπιχρισθείς, ὦ τῶν σῶν ἔργων, ἀθάνατε βασιλεῦ! ὃς οἶδας δοξάζειν τοὺς σὲ([9]) μετὰ θερμῆς τῆς πίστεως θεραπεύοντας, ὑγιὴς ὁ ἀνὴρ ὦπτο([10]) καὶ σωφρονῶν ὡς μηδέποτε τοιοῦτόν τι ὀφθεὶς πεπονθὼς τοῦ πονηροῦ πάντως ἐκεῖθεν πνεύματος ἀπελαθέντος. Καὶ γυναῖκά τινα ἐκ παραλύσεως παντελεῖ κεκρατημένην ἀκινησίᾳ καὶ ὀδύναις δριμείαις πληττομένην ἐν πᾶσι τοῖς μέλεσιν ἐφ᾽ ἁμάξης πρὸς τὴν σορὸν τῆς ἁγίας ἄγουσι καὶ πάσης ὀδύνης ἐκτὸς ἀπολαβόντες αὐτὴν καὶ τοῖς οἰκείοις ποσὶ χρωμένην οἴκαδε ἀναστρέφουσιν.

§ 40. Δίκαιον δὲ καὶ ταῦτα προσθεῖναι τοῖς εἰρημένοις. ***Συμεὼν ὁ ἄρχων Βουλγαρίας***[εἰς] ***τὴν Ῥωμαίων ἐκστρατεύσας ἅπαν τὸ τῆς Θρᾴκης μέρος κατελῄσατο, μέχρις αὐτῶν τῶν τῆς Κωνσταντινουπόλεως τειχέων πάντα καταναλώσας καὶ τὰς πλείους τῶν πόλεων κατασκάψας***· ἔνθεν τοι καὶ οἱ τὴν Βιζύην κατοικοῦντες, μὴ δυνάμενοι πλέον

---

1. πολλαχοῦ.
2. ἀρρυομένων.
3. ἴασιν, πάντοτε μετὰ δασέος πνεύματος.
4 κατὰ μέρος=καταλεπτῶς, λεπτομερῶς.
5. σεφρονᾶς.
6. τὸ ρῆμα παρελείφθη.
7. ἀσχημηράν.
8. εἴπη.
9. τούς σοι.
10 ὤπτω.

ἐν ταύτῃ μένειν πενταετίαν ὅλην πολιορκούμενοι, καιροῦ τυχόντες ἐπιτηδείου, τὴν πόλιν καταλιπόντες ᾤχοντο, πυρὶ τὰς οἰκίας πάσας κατατεφρώσαντες. Αἰχμάλωτος οὖν τις διαδρὰς τὰς τῶν πολεμίων χεῖρας, δρόμῳ πολλῷ χρησάμενος ἑσπέρας ἤδη τὴν Βιζύην ἔφθασε· γυμνὴν δέ πᾶσαν ἀνθρώπων καὶ οἰκημάτων εὑρὼν εἰς τὸν ναὸν τῆς μακαρίας πρὸς τὸ διαβιβᾶσαι τὴν νύκτα κατέφυγε· μήπω δὲ εἰς ὕπνον τραπείς, γοερῶν φωνῶν τῆς σοροῦ τῆς ἁγίας ἐξερχομένων ἀκήκοε· σχετλιασμοὶ δὲ ἦσαν καὶ οἰμωγαί. «Καὶ τίνος, ἔλεγε, χάριν οἱ τὴν πόλιν οἰκοῦντες, χριστιανοὶ ὄντες αὐτὴν καταλείψαντες ἔφυγον; ἐμοῦ καὶ ταῦτα ἐνθαδὶ κατοικούσης· εἰ δὲ οὕτως ποιῆσαι ἔμελλον, διατί μὴ καὶ ἐμὲ μεθ' ἑαυτῶν ἀνείλοντο, ἀλλ' ἐν τοῖς ἔθνεσί με κατέλειψαν;»

§ 41. Τούτοις ὁ ἄνθρωπος γενόμενος ἔμφοβος διανυκτερεύσας εἰς τὴν Μήδειαν παρεγένετο καὶ τοῖς ἐκεῖσε πάντα(¹) διήγγειλε. ***Παρὼν οὖν ἐκεῖσε καὶ ἱερεὺς Νικήτας, ὁ Κανάκις ὀνομαζόμενος, ὃς παρ' ὅλην τὴν πολιορκίαν ἐν τῷ ναῷ τῆς ἁγίας τὰ τῆς λειτουργίας ἦν ἐκτελῶν,*** ἄρτι δὲ μετὰ τῶν ἐποίκων καὶ αὐτὸς ἐξελθὼν κατέλαβεν <εἰς> τὴν Μήδειαν καὶ ἀκούων ταῦτα παρὰ τοῦ αἰχμαλώτου, εἰς μνήμην ἦλθε τῶν ἐπιτελουμένων παρὰ τῆς μακαρίας θαυμάτων καὶ οὐκ ἔτι στέγειν ἠδύνατο, εἰ μὴ τὴν Βιζύην καταλαβεῖν καὶ εἰς προσκύνησιν τῆς ἁγίας ἐλθεῖν καὶ ταῦτα τῶν πολεμίων ὄντων ἐντός. Ὁ γὰρ λεχθεὶς Συμεὼν ἐν τούτῳ καταλαβὼν τὴν Βιζύην καὶ κενὴν ταύτην ἀνθρώπων καὶ οἰκημάτων εὑρὼν τὰ ἀπὸ τοῦ πυρὸς ἐναπολειφθέντα τείχη ἐκ θεμελίων ἀνατραπῆναι προστάττει καὶ τὴν γῆν ἀροτριασθῆναι καὶ σπαρῆναι. ὃ δὴ καὶ γέγονε.

§ 42. Τοῦ καιροῦ εἰς τοῦτο ἁρμοδίως ἔχοντος, ὃ γέγονεν ἐπ' αὐτοῦ Συμεὼν οὐ δίκαιον ἂν εἴη παραδραμεῖν. Εἰσελθὼν γὰρ εἰς τὴν Βιζύην καὶ μόνους τοὺς ἐν αὐτῇ ναοὺς τῷ πυρὶ ἀναλώτους εὑρών, διῄει περισκοπῶν καὶ οὓς μὲν εἰς ὡρεῖα,(²) οὓς δὲ εἰς οἰκίας καὶ οὓς δὲ εἰς ἱπποστάσια καθιστῶν· ἀφικόμενος δὲ καὶ εἰς τὸν ναὸν τῆς ἁγίας καὶ τοὺς ὀφθαλμοὺς τῷ γλωσσοκόμῳ ἐπιβαλὼν τοὺς παρατυχόντας : «τίνος ἂν εἴη» ἠρώτα· τῶν δὲ ἀπαγγειλάντων καὶ περὶ τῶν ἐπι-

---

1. παντοί.

2. ὀρρεῖα. ἡ λέξις παράγεται ἐκ τοῦ ὧραι (τοῦ ἔτους) ἤτοι αἱ 4 ἐποχαὶ καὶ σημαίνει κυρίως σιταποθήκην ἢ σιτοβολῶνα (ὠρειὸ νῦν ἐν Ἄθῳ καὶ horeum λατ. βλ. Meursius σ. 635).

τελουμένων θαυμάτων παρὰ τῆς ἐν αὐτῷ κειμένης εἰπόντων αὐτῷ, διανοιχθῆναι προστάττει· ἀλλὰ διανοιγομένου ***φλὸξ ἐξῄει εὐθέως καὶ ἅπαντας κατεφόβησε· τοῦτο ἐκεῖνος ἰδὼν τὸν ναὸν μὴ παραθίγειν ὅλως τοῖς οἰκείοις προσέταξε καὶ τοῖς ἱερεῦσι καθ᾽ ἑκάστην ἐπέτρεψε λειτουργεῖν·*** οἰκίσας δὲ τὴν πόλιν ταύτην τισι τῶν οἰκείων αὐτῷ καὶ φρουρὸν ἐπ᾽ αὐτῇ ***Βουλίαν τινὰ ἄρχοντα καταστήσας*** ἐξῄει, ὡς καὶ τὰς ἑτέρας τῆς Θρᾴκης πόλεις οὕτως ἐγκαταστῆσαι.

§ 43. Ὁ γοῦν προῤῥηθεὶς ἱερεὺς ὁ Κανάκις τοῖς τοῦ αἰχμαλώτου λόγοις προθυμηθείς, ὡς εἴρηται, εἰς Βιζύην ἐλθεῖν, τὴν προθυμίαν πληρῶσαι ἔσπευσε· πλησίον δὲ τοῦ κάστρου γενόμενος ἐκρατήθη παρὰ τῶν Βουλγάρων καὶ ἀνηρευνᾶτο τίς τε εἴη καὶ πῶς ἐνταυθὶ παραγενέσθαι τετόλμηκεν. ὁ δὲ ἄρα ἀληθείας ὢν παῖς καὶ ἀληθῆ λέγειν μεμαθηκώς, ὅστις τε εἴη καὶ τίνος χάριν ἐληλύθει διωμολόγει. Ταῦτα δὲ εἰς ὦτα τῷ Βουλίᾳ ἐλθόντα καὶ αὐτὸν τὸν ἄνδρα εἰς ὄψιν αὐτοῦ ἀγαγεῖν ἐκέλευσεν· ἐλθόντι δὲ ὑπεξίστατο καὶ πατέρα ἐκάλει καὶ μετὰ τιμῆς ὅσης ἐδεξιοῦτο· καὶ περὶ τοῦ τῆς ἁγίας βίου καὶ τῶν θαυμάτων παρ᾽ αὐτοῦ ἐζήτει μαθεῖν μεθ᾽ ὅσης τῆς ἀξιώσεως.

§ 44. Καὶ ὁ μὲν πάντα ἐκδιηγεῖται τὰ κατ αὐτήν, ὡς εἴη μὲν ἐκ Κωνσταντίνου πόλεως, γονέων τε εὐγενῶν ἐνδόξων θυγάτηρ —χαρὰ σύμμικτος δάκρυσι μετὰ παρρησίας—καὶ ὡς γενναίῳ ἀνδρὶ συζευχθεῖσα καὶ στρατηγῷ καὶ τὴν τούρμαν ταύτης τῆς πόλεως ἀναδεξαμένῳ. Νικηφόρος ὄνομα τῷ ἀνδρί. καὶ ὡς τέκοι τὸ πρῶτον παῖδας δύο ἄρρενας· οἳ καὶ ἔτι ζώσης αὐτῆς τε καὶ τοῦ ἀνδρὸς τὸ χρεὼν ἐλειτούργησαν, καὶ ὅσην ἐπ᾽ αὐτοῖς τεθνηκόσι γενναιότητα ἐπεδείξατο· καὶ ὡς μετὰ τούτους τέκοι[1] δύο ἄρρενας καὶ διδύμους, καὶ τὰ ἐπ᾽ αὐτοῖς γεννηθεῖσι φανέντα συμβόλαια καὶ ὅπως ὅσα ἡ μήτηρ προέφησε δι᾽ αὐτῶν[2] εἰς ἔργον ἐξέβη·[3] ὁ μὲν γὰρ πρωτότοκος Βαάνης εἰς στρατιώτας καταλεγεὶς τοῦ ἐν τῇ Σηλυμβρίᾳ[4] εὑρισκομένου ἀρτίως ῥωμαϊκοῦ στρατεύματος στρατηγεῖ· ὁ δὲ μετ᾽ αὐτὸν τεχθεὶς Στέφανος τὴν τῶν μοναχῶν ὁδεύσας, περὶ τὰ Ὀλύμπιά που ὄρη ἀναστρεφόμενος ζῇ μόνῳ ἑαυτῷ τε καὶ τῷ Θεῷ.

1. τέκει.
2. ἴσως περὶ αὐτῶν.
3. ἐξεύβει.
4. Σηλυμβρία ὁ ἀρχαῖος τύπος.

§ 45. Καὶ τά ἄλλα δὲ πάντα τῆς μακαρίας ὁ ἱερεὺς τῷ Βουλίᾳ ἐκδιηγεῖται, τὴν ἀγάπην, ἣν εἶχεν ἀνυποκρίτως πρὸς ἅπαντας, τὴν ἐλεημοσύνην τὴν ἄμετρον, τὴν συμπάθειαν, τὴν εἰρήνην, τὴν μακροθυμίαν, τὴν ἐπιείκειαν, τὴν ἀγιαθωσύνην,[1] τὴν φιλοπτωχείαν, τὰς ὁλονυκτίους δεήσεις, τὰ δάκρυα, τὴν ὑπομονήν, τὴν εἰς τοὺς θείους ναοὺς μεθ' ὅσης τῆς ἡδονῆς σπουδήν, τοὺς ἐν τούτοις <άπο> συχνοὺς τῆς γονυκλισίας ἱδρῶτας, τὴν περὶ τὴν εὐπρέπειαν τῶν θείων ναῶν ἀγάπην καὶ ἐπιμέλειαν. ἔπειτα τὴν κατ' αὐτῆς πλασθεῖσαν διαβολὴν ἐξ ὑποβολῆς τοῦ σατάν, τὴν ἀποστροφὴν τοῦ ἀνδρός, τὰς πληγάς, τὸν θάνατον, τὰ μετὰ ταῦτα[2] ἄπειρα θαύματα, ὅσα τε γενέσθαι ὁ λόγος ἐδήλωσε καὶ ὅσα διὰ τὸ μῆκος παρέλειψε, τὴν εἰς τοὺς διαβάλλοντάς τε ἀνταπόδοσιν καὶ ὅπως ὁ ἀνὴρ αὐτῆς Νικηφόρος κατὰ τόν καιρὸν τῆς πολιορκίας Βιζύης τέλει τοῦ βίου χρησάμενος, ἐτάφη παρὰ τῷ ἀριστερῷ μέρει τοῦ ἀνεγερθέντος παρ' αὐτοῦ τῇ μακαρίᾳ ναοῦ.

§ 46. Ὁ δὲ Βουλίας ταῦτα ἀκούων ἐξεπλήττετο καὶ ἐθαύμαζε καὶ τῷ Θεῷ τὸν αἶνον σὺν τοῖς παροῦσιν ἀνέπεμπεν, ἔφησε δὲ πρὸς αὐτόν: «καὶ πῶς, ὦ τίμιε πάτερ, τοιοῦτον ἀγαθὸν ἠνέσχου καταλιπεῖν;[3] εἴπερ διὰ τὴν τοῦ πολέμου φορὰν τοιαύτην ἔτλης ὑποστῆναι ζημίαν, ἀλλὰ νῦν τε πάντα σοι συγκεχώρηται καὶ ἐφεῖταί σοι βουλομένῳ ποιεῖν τὰ τῆς λειτουργίας. Θέλησον οὖν καὶ συγκατοίκησον ἡμῖν. τὰ δέ πρὸς τὴν χρείαν ἅπαντα ἂν ἡμεῖς ἀνελλιπῶς χορηγοίημεν.» ὁ δέ: «τὸ τέως[4] μὲν οὐ δύναμαι, ἔφη, διὰ τὸ βούλεσθαι συγκατοικεῖν τοῖς ἐμοῖς οὖσιν ἐν τῇ Μηδείᾳ· ὃ δὲ δύναμαι ποιεῖν, τοῦτο καὶ δέομαι μὴ ἀποτυχεῖν.[5] κέλευσον ἔρχεσθαί με καὶ λειτουργεῖν ἐν τῷ τῆς ἁγίας ναῷ μὴ παρά τινος κωλυόμενον.» ὁ δὲ καὶ λίαν ἀσμένως τοῦτο κατένευσε· πρὸς δὲ καὶ ἠξίου μὴ ὑστερίζειν, ἀλλὰ συχνότερον τοῦτο ποιεῖν.

§ 47. Ἐπεὶ δὲ ὁ ῥηθεὶς Συμεών, οὓς ἐν ταῖς ἁλωθείσαις παρ' αὐτοῦ πόλεσιν ἀνετίθει φρουρούς, διά τινος χρονικοῦ διαστήματος μετεκαλεῖτο ὡς ἑαυτὸν καὶ ἄλλους ἀντ' αὐτῶν ἔστελλε, μετεκαλεῖται καὶ ἐκ Βιζύης Βουλίαν, ἕτερον ἀντ' αὐτοῦ πέμψας φρουρὸν τῆς

---

1. ἀγαθοσύνην.
2. μετὰ τούτων.
3. τοιούτων ἀγαθῶν.... καταλειπεῖν.
4. τέως=ἕως πότε.
5. ἀπὸ τυχεῖν.

πόλεως· οἱ δὲ τῆς φρουρᾶς ἐξερχόμενοι, δεῖν κρίνοντες πολέμου νόμῳ σὺν λαφύροις οἴκαδε ἀναστρέφειν, τοῖς ἐναπολειφθεῖσι τῶν Ῥωμαίων ἐπέτρεχον καὶ λείαν πολλὴν λαμβάνοντες οὕτω τὴν αὐτοὺς φέρουσαν ἐπορεύοντο. Ὡς δὲ καὶ Βουλίας τῷ διαδεξαμένῳ τὴν Βιζύην κατέλιπε, τῷ εἰρημένῳ νόμῳ στοιχῶν καὶ αὐτὸς εἰς λαφυραγωγίαν ἐτρέπετο· ἔνθεν καὶ εἰς Σηλυμβρίαν καταλαβὼν συναντᾶται παρὰ τοῦ ἐκεῖσε ῥωμαϊκοῦ στρατοπέδου, οὗ[1] τὸν Βαάνην ἡγεῖσθαι φθάσας ὁ λόγος ἐδήλωσεν.

§ 48. Γνοὺς οὖν ὡς σὺν τῷ τοιούτῳ στρατεύματι καὶ Βαάνης ἐστί, τοὺς οἰκείους αὐτοῦ ἐπιστήσας μόνος εἰρηνικώτερον παρεξέβη· καί τινα προσκαλεσάμενος ἐκ τοῦ στρατοπέδου Ῥωμαίων περὶ Βαάνου μαθεῖν ἠξίου, εἰ παρῄει τῷ στρατοπέδῳ. παρόντα δὲ μαθὼν ἐδέετο τοῦτον ἰδεῖν. Μηνύεται ταῦτα Βαάνῃ. καὶ ὡς εἶχεν ἔνοπλος ἔρχεται πρὸς Βουλίαν. Ὁ μὲν οὖν εὐθὺς αὐτὸν ἤρετο. «Σὺ εἶ ὁ σεβάσμιός μοι Βαάνης, ὁ υἱὸς τῆς ἐν Βιζύῃ, ἁγίας Μαρίας;» Ὁ δὲ «ἐγώ εἰμι», ἀπεκρίνατο· «σὺ δὲ τίς εἶ καὶ πῶς τὸ ἐμὸν ὄνομα οἶδας καὶ τὸ τῆς Μαρίας; καὶ πόθεν ἐμοὶ φιλίως διάκεισαι»; Ὁ δὲ Βουλίας, «Ἄνθρωπός εἰμι ἁμαρτωλός, ἀπεκρίνατο»· (καὶ διηγεῖται πρὸς τὸν Βαάνην θαύματά τινα καὶ βεβαιοῖ, ὅτι μὴ δυνηθεὶς ἰδεῖν τὴν μητέρα πόθον εἶχε πολὺν νὰ ἴδῃ τὸν υἱόν, ἅτε καὶ περὶ τούτου μαθὼν ἀπὸ τῶν παρὰ Βουλγάροις αἰχμαλώτων. Καὶ διεχωρίσθησαν Βαάνης τε καὶ Βουλίας εἰρηνικῶς).

§ 49. «Ἐπειδὴ τὸ τῆς μητρὸς ἅγιον ὄνομα καὶ λείψανον οὐκ ἠξιώθην ἰδεῖν· ἀνοιγομένου γὰρ τοῦ τιμίου σκεύους, ἐν ᾧ κατάκειται, ἵνα παρ᾽ ἡμῶν θεαθῇ, φλὸξ ἐξελθοῦσα ἐκεῖθεν ἡμᾶς μικροῦ δεῖν κατέφλεγε καὶ οὐκέτι ἐτολμήσαμεν ἀνοῖξαι καὶ ταύτην θεάσασθαι: κἂν γοῦν σε ἰδεῖν ἐπεπόθουν· ἦ γὰρ ἂν οὕτω τῆς ἐξ αὐτοῦ διὰ σοῦ χάριτος ἀπολαύσαιμί σου. τὸ δὲ ὄνομα καὶ ὅτι ἐνταῦθα εὑρίσκῃ ἔχω μαθεῖν ἀπὸ τῶν παρ᾽ ἡμῖν αἰχμαλώτων, ἀφ᾽ ὧν καὶ περὶ τῶν τελουμένων θαυμάτων ἀκήκοα· βεβαιότερον δὲ περὶ πάντων ἔγνων παρὰ ἱερέως ἀνδρὸς τοῦ λειτουργοῦντος ἐν τῷ ἀνεγερθέντι παρὰ τοῦ πατρός σου ναῷ· ἀλλὰ καὶ ἐφ᾽ ἡμῶν τοιοῦτόν τι γέγονεν. Τῶν ἡμετέρων στρατιωτῶν καθημένων εἰς φυλακὴν τοῦ τείχους Βιζύης καὶ λόγοις διαφόροις ἐντυγχανόντων καὶ περὶ τῶν τῆς ἁγίας θαυμάτων ἤρξαντο διηγεῖσθαι καὶ ἅπαντες ἐξεπλήσσοντο. Εἷς δὲ τούτων ἀπι-

1. ὧν.

στίας πάθει ἁλοὺς μὴ ἀληθῆ ἔλεγεν εἶναι τὰ λεγόμενα. «εἰ γάρ ἁγία ἦν αὕτη καὶ τὴν πόλιν ταύτην, ἐν ᾗ κατάκειται, τῶν ἡμετέρων χειρῶν διεσώσατο ἄν». Οὔπω τέλος ἔσχεν ὁ λόγος αὐτῷ καὶ πνεύματι λαμβάνεται πονηρῷ. Πίπτει κατὰ γῆς τοὺς ὀφθαλμοὺς διαστρέφων, τοὺς ὀδόντας βρύχων, σιέλη(1) ἐκπτύων τοῦ στόματος, ταῖς χερσὶ συχνάκις πατάσσων τὴν κεφαλὴν καὶ μέγα βοῶν. Ἐπὶ πολὺ δὲ οὕτως ὀχλούμενος μόλις ἐπιτρέμουσιν ἀνέστη τοῖς γόνασιν καὶ τὸν τάφον τῆς ἁγίας μητρός σου καταλαβὼν καὶ ἐφ' ἱκαναῖς ἡμέραις ἐκεῖσε βασανιζόμενος ἔτυχε τῆς ἰάσεως, ὅπερ ἡμεῖς ἅπαντες θεασάμενοι καὶ ἔμφοβοι γεγονότες τὸν Θεὸν δοξάζοντες τὸν δοξάζοντα<ς> τοὺς γνησίους ἱκέτας αὐτοῦ ἐμεγαλύνομεν ἰσχυρῶς. τὸν δὲ ἰαθέντα ἄνθρωπον εἰς Βουλγαρίαν ἐστείλαμεν καὶ τοῖς ἐκεῖσε τὰ εἰς αὐτὸν γεγονότα παρεδηλώσαμεν, ἱερέα μετεκαλεσάμεθα καὶ τὰ τῆς λειτουργίας μέχρι σήμερον εἰς τὸν ναὸν ἐκτελεῖ».

§ 50. Μετ' ὀλίγον δέ, τοῦ εἰρημένου Συμεὼν τὴν ψυχὴν ἐκρήξαντος, Πέτρος ὁ υἱὸς αὐτοῦ τὴν ἀρχὴν διαδέχεται· ὃς καὶ βαρβαρικώτερον τοῖς πράγμασι χρώμενος ***τὰς ὑπὸ τοῦ πατρὸς αὐτοῦ ἁλωθείσας πόλεις τῆς Θράκης εἰς ἔδαφος κατασπᾷ***, εἰς ἑαυτὸν τοὺς ἐν αὐταῖς εὑρισκομένους Βουλγάρους μετακαλούμενος, μεθ' ὧν καὶ τὴν Βιζύην οὕτω διέθηκεν· ὅπερ μαθὼν Βαάνης σύν τισιν ἱερεῦσι καὶ στρατιώταις τῶν ὑπὸ χεῖρα τὴν Βιζύην καταλαμβάνει. Εἰσελθὼν οὖν μετὰ τῶν σὺν αὐτῷ ἐν τῷ θείῳ ναῷ τῆς ἁγίας μητρὸς αὐτοῦ καὶ τὰ εἰκότα εὐξάμενοι καὶ εὐχαριστήσαντες τὸ τίμιον αὐτῆς καὶ ἅγιον λείψανον κατησπάσαντο· ***τῆς θείας δὲ καὶ ἁγίας ἱεροτελεστίας ἐναρχομένης τρισμὸς μέγας γέγονεν ἐν τῷ γλωσσοκόμῳ καὶ φόβον πᾶσιν ἐνέβαλεν*** ὡς μικροῦ καταλιπόντας τὸν ναὸν ἐξελθεῖν· τούτου δὲ μεθ' ἱκανῆς τῆς ὥρας παυσαμένου, διαπορεῖν ἤρξαντο τί ἆρα τὸ σημεῖον βούλεται τοῦτο; Βαάνης οὖν ὁ υἱὸς αὐτῆς «Ὥσπερ, φησί, καταλιπόντων(2) ἡμῶν τὴν Βιζύην, ἀγανακτοῦσα γοερὰς ἠφίει φωνάς, καθὼς ὁ αἰχμάλωτος διηγήσατο, οὕτως ἐπὶ τῇ παρουσίᾳ ἡμῶν σκιρτᾷ ἐν ἀγαλλιάσει». Τὰ τῆς θείας δὲ λειτουργίας τελέσαντες καὶ ἐπὶ τῷ γεγονότι δοξολογήσαντες εἰς Σηλυμβρίαν αὖθις ὑπέστρεψαν».

§ 51. ***Ῥωμανοῦ δὲ τῶν ῥωμαϊκῶν σκήπτρων ἐπειλημμένου*** καὶ ***γαμικὰ συναλλάγματα ἐκτελέσαντος μετὰ τῶν Βουλγάρων***, εἰρηναία κατάστασις μέσον αὐτῶν τε καὶ τῶν Ῥωμαίων ἐγένετο. Ἔνθεν τοι

---

1. σιέλη ἐκ τοῦ οὐδ. γένους, τὸ σίελον.
2. καταλειπόντων.

καὶ ἅπαντες συναχθέντες εἰς τὰς ἰδίας πατρίδας ἐκτός τινος δέους ἔθεον· καὶ Βαάνης ἐντεῦθεν μετὰ τῶν σὺν αὐτῷ ἐκ Σηλυμβρίας τὴν Βιζύην κατέλαβεν. Ἔτυχε δὲ ἐν τούτῳ καὶ τὸν εἰρημένον ἀδελφὸν αὐτοῦ Στέφανον ἐκ τῶν ὀλυμπίων ὀρέων κατά τινα χρείαν, τὴν Κωνσταντίνου καταλαβεῖν, οὐχὶ Στέφανον ἔτι ὀνομαζόμενον, ἀλλὰ Συμεὼν τῷ μοναχικῷ σχήματι τὸ ὄνομα εἰς τοῦτο ἀμείψαντα. Οὕτω τοίνυν ὁ Συμεών, τῇ τῶν πραγμάτων εἰρήνῃ ἐπευφρανθεὶς καὶ ἅμα μὲν ποθῶν τὴν πατρίδα ἰδεῖν, ἅμα δὲ καὶ τῷ ἀδελφῷ ἐντυχεῖν, τὸ δὲ πλέον, ἵνα τὸ τῆς Μαρίας ἅγιον λείψανον προσκυνήσας καὶ ἀσπασάμενος τῆς ἐξ αὐτοῦ καταπολαύσῃ χάριτος, τὴν Βιζύην καταλαμβάνει. εἰς τὸν ναὸν οὖν ἀφικόμενος καὶ κατ᾿ ἔφεσιν εὐχῆς τε καὶ εὐχαριστίας πληρώσας ἐντυγχάνει καὶ τοῦ αὐτοῦ ἀδελφῷ Βαάνῃ. ἔνθα δὴ κοινωσάμενοι ἄμφω τὰ κατὰ γνώμην, τὰς ἀνηκούσας αὐτοῖς ἀδελφικὰς μερίδας ἀποκληροῦσι τῷ ναῷ τῆς ἁγίας αὐτῶν μητρὸς καὶ ***εἰς μοναστήριον αὐτὸν ἀποκαθιστῶσιν.***

§ 52. Ὁ γοῦν Συμεὼν ἐνταῦθα καὶ μετάθεσιν ἐποίει(1) τῶν λειψάνων, τὸ μὲν τοῦ πατρὸς αὐτοῦ ἐκτὸς τῆς ἐκκλησίας τάφον ποιήσας τίθησι· τὸ δὲ τῆς ἁγίας μητρὸς αὐτοῦ λείψανον ἀπέθετο ἐν ᾧ ὁ πατὴρ κατέκειτο ἐκ μαρμάρου πεποιημένῳ(2) (τὰ ἑξῆς οὐχὶ ὀλίγον ἀκατανόητα) οὐ δι᾿ ἑαυτοῦ (sic) ὁ Συμεὼν τὴν μετάθεσιν ἐποιήσατο, ἀλλὰ δι᾿ ἑτέρων (sic). αἰτίαν δὲ τούτου, ἐν οἷς τὰ περὶ τούτων ἐκδιηγεῖται, ταύτην δίδωσιν οὑτωσί: «ἐγὼ δὲ τῷ τοῦ Χὰμ ὑποδείγματι ἔμφοβος ὢν ἀσχημοσύνην πατέρων θεάσασθαι οὐκ ἐτόλμησα»· διὸ καὶ ἄλλοις ἐπέτρεψε τὴν μετάθεσιν· οἱ δὲ ταύτην ποιήσαντες φασὶ τὸν μὲν τοῦ Νικηφόρου νεκρὸν ὀστέα μόνα καί τινας ἁρμονίας διαγινώσκεσθαι, ἔτι δὲ κάτω κείμενον, τὸ δὲ τῆς ὁσίας ἅγιον λείψανον σῶον τε καὶ καὶ ἀνελλιπὲς εἶναι διωμολόγουν καὶ μηδεμίαν παθὸν φθορὰν πέμπτον καὶ εἰκοστὸν ἔτος κείμενον· ὃ καὶ ἄρτιον(3) ὁρᾶται, χρόνων ἤδη συχνῶν παρεληλυθότων μηδεμίαν ἔχον διάλυσιν. Ταῦτα δὲ οὕτω πληρώσαντες καὶ τὰ εἰκότα τελέσαντες, ἀπαίρει τῆς Βιζύης ὁ Συμεὼν καὶ <εἰς> ὄρος καταλαμβάνει τὸν Κυμινᾶν ἐπονομαζόμενον, ἐν ὁρίοις Παφλαγονίας τῆς Πλουσιάδος(4) ἐγγύς, τὸν ἀσκη-

---

1. ἐννοεῖ.
2. πεποιημένον.
3. ἀρτίως.
4. Πλουσιὰς πόλις, ὁ κάτοικος Πλουσιαδηνός, ὅθεν κατήγετο ὁ γνωστὸς παπομάχος Ἰωσὴφ Μεθώνης.

τικὸν εἵλετο βίον καὶ ἔτι ἐξεργαζόμενος. μετὰ τούτων δὲ πλείστων θαυμάτων ἐκτελουμένων καὶ ἐπὶ ταῦτα ὁ λόγος ὁρμᾷ, καταλιπεῖν τι τῶν γεγονότων οὐκ ἀνεχόμενος» (Ἀριθμεῖ δέ τινας ὑπὸ τῆς ἁγίας θεραπευθέντας, ἐν οἷς ἦν καί).

§ 53. Γυνή τις ἀπὸ τοῦ κάστρου Μηδείας πονηρῷ πνεύματι συλληφθεῖσα δεσμῶτις παρὰ τῶν ἰδίων αὐτῆς ἐπὶ τὸν τάφον ἄγεται τῆς ἁγίας, καὶ τὴν ὑγιείαν ἀπολαβοῦσα οἴκαδε χαίρουσα ἀναστρέφει. Καὶ ἀνήρ τις Δαβυὶδ ἐπονομαζόμενος νοσήματι περιπέπτωκε χαλεπῷ· τὸ δὲ νόσημα ἐπὶ τοσοῦτον κατεῖχε τὸν ἄνδρα, ἐφ' ὅσον δὴ τὰ τοῦ σώματος μέλη τῇ παραλύσει(1) νεκρὰ κατεργάσασθαι. ἠτόνησε μὲν αὐτῷ ἡ φυσικὴ διαρτία, ἀπεκέκλειστο σιτίων, ἀπεκέκλειστο ποτήματος. εἰδὲ πότε εἶχεν ἄγειν τι τῶν ἁπάντων τῷ στόματι μέχρι μὲν τοῦ φάρυγγος ἤγετο, εἶτα εἰς τὴν ῥύμην τοῦ ἐντὸς κινουμένου πάθους ἐκεῖθεν ἐξήρχετο, ὅθεν καὶ τὴν κάθοδον εὗρεν· οὐδὲ γάρ καθεστηκότα τὰ ἐντὸς εἶχεν ὄργανα, τὰ δυνάμενα κατεργάζεσθαι τὴν τοῦ ζῴου τροφὴν νόμῳ φύσεως, εἴκοντα· διόπερ ἄγεται καὶ οὗτος εἰς τὸ τῆς ἰάσεως ταμεῖον, τὸν ἀκένωτον θησαυρόν, πλησίον τῆς σοροῦ καὶ αὐτὸς κατατίθεται. διημερεύει, ἐξαιτεῖται τὴν τῆς νόσου ἀπαλλαγήν. λαμβάνει ταύτην αὐθημερόν, ἀλλ' οὐ καθαρῶς. ἐντεῦθεν καινουργεῖσθαί τι παραδοξώτερον προειδυῖας τῆς μακαρίας. ἀμέλει καὶ ἐγείρεται ὁ ἀκίνητος. ὁρᾷ πόδας ἀναισθήτους ὄντας τὸ πρὶν εὑραμένους τὴν ἴασιν καὶ δυναμένους ποιεῖν τὴν ἰδίαν ἐνέργειαν. βαδίζει τούτοις, ἄπεισι παρὰ τὴν ἑαυτοῦ οἰκίαν μὴ παρά τινος ἀγόμενος ἢ ἐρειδόμενος.

§ 54. Μετ' ὀλίγον δὲ μικρὸν βαρυνόμενος ἐπί τινι λειψάνῳ τῆς νόσου ἀμνημονεῖ, ὅθεν ἔτυχε τῆς ἰάσεως, ὅθεν ἔσχεν τῶν βαρυτάτων ἐκείνων καὶ ἀφορήτων ὀδυνῶν τὴν ἀπαλλαγήν, καλεῖ φαρμακόν(2) τινα γυναῖκα ἀπὸ τῶν τῆς πονηρίας πνευμάτων τερατουργοῦσαν, δοκῶν ὑπ' αὐτῆς ὁ φρενόληπτος τὴν ἄκραν ὑγιείαν ἀπολαβεῖν. Ὡς δὲ παρεβάλετο μαγγανείαις καὶ ἐπῳδαῖς καὶ συχναῖς φαρμακείαις ὁ ἄθλιος, πρὸς τὸ μηδὲν ἂν εἴη εἰς λόγον ὑγιείας καὶ εἰς δεινοτέρας χωρεῖν τὰς πληγάς. καὶ ἐγεγόνει αὐτῷ τὰ χείρονα, ὅ φασι, τῶν προτέρων. Καὶ πάλιν ὀδύναι δριμεῖαι, πάλιν ἀκινησία μελῶν καὶ

1. παραινέσει.
2. φαρμακός, σπάνιος τύπος ἀντὶ φαρμακεύς.

κακῶν(¹) μυρίων γέμουσα συμφορά. ἀλλ' οὐκ ἔμελλεν ἐπὶ πολὺ χαίρειν(²) ὁ σατανᾶς· συνεὶς γὰρ ὁ ἀνὴρ τὴν ἀπάτην σὺν δάκρυσι θερμοῖς τὴν φιλάνθρωπον Μαρίαν ἐπικαλεῖται, ἐξαιτεῖται τοῖς συγγένεσι πρὸς τὸν θεῖον ταύτης ἀποκομῖσαι ναόν. Ἄγουσι τοῦτον τῇ κλίνῃ κείμενον καὶ ἔμπροσθεν τῆς ἁγίας ῥίπτουσι λάρνακος· καὶ ὁ νοσῶν πρὸς τὸν ἰατρὸν ἀπιδὼν(³) καὶ βύθιον στενάξας καὶ γοερὸν παρακεκομμένῃ τῇ φωνῇ καὶ τῷ ἄσθματι «σὺ μέν ἔφησε, μακαρία, εἰς ἐμὲ τὸν ἄθλιον ἐργασαμένη τὸν ἔλεον τοῦ θανατοῦντός με νοσήματος ἠλευθέρωσας, ἡμεῖς δὲ οὐκ ἀξίαις(⁴) ταῖς ἀμοιβαῖς τὴν δωρεὰν ἀπετίσαμεν. Τὸ λείψανον τῆς νόσου τὸ ἀμυδρὸν μὴ σοὶ τῇ θερμῇ ἰατρῷ ἀναθέμενοι, τῇ ἐξ αὐτομάτου μοι παρασχούσῃ τὴν ἴασιν τοῦ πολυειδοῦς ἐκείνου νοσήματος, ἀλλ' ἐξ ἀφροσύνης(⁵) τῇ ὑποβολῇ τοῦ σατανᾶ ἐμπεπαρωνήκαμεν,—κακῶς τὸ ρῆμα τοῦτο ἐγράφη. δὲν ὑπάρχει ἀμφιβολία, ὅτι εἶναι τύπος τοῦ ἐμπαροινῶ, ὅπερ συναντᾶται καὶ παρὰ τῷ Σκυλίτζῃ ἐπὶ τῆς σημασίας τοῦ πράττω τι ὡς μεθυσμένος.—γυνῇ(⁶) ὀλεθρίῳ τινὶ καὶ πονηρῷ τὰ καθ' ἑαυτοὺς ἐπιτρέψαντες. ἀλλὰ τῇ συνήθει φιλανθρωπίᾳ ἐξελοῦ με κινδύνων· εἰ γὰρ τῆς σωματικῆς ὑγιείας ἐπαπολαύσω, γνώσομαι πάντως ὡς καὶ συγγνώμης ἀξιωθήσομαι, ὧν ἀθλίως καὶ ἀσύγγνωστα ἥμαρτον ἀσέβειαν ἄντικρυς ἐργασάμενος». Ταῦτα καὶ ἕτερα πρὸς τούτοις ἐλεεινῶς φθεγξάμενος(⁷) ἐπικαμφθεῖσα ἡ μακαρία, ἡ τοῦ φιλευσπλάχου μαθήτρια, ἡ καὶ ζῶσα καὶ μετὰ θάνατον πλουσίως ἐκκενοῦσα τὸν ἔλεον, τὴν ἴασιν τῷ ἀνδρὶ καθαρῶς ἀποδίδωσιν.

§ 55. Γυνὴ αὖθις ἑτέρα δαίμονι συλληφθεῖσα καὶ εὐχομένη, παρὰ τὸν τάφον ἀχθεῖσα τῆς ἰάσεως ἔτυχεν. καὶ ὁ ἐπὶ θυγατρὶ ταύτης γαμβρὸς παραπλησίῳ δαίμονι συλληφθεὶς καὶ αὐτὸς κατὰτὸν ὅμοιον τρόπον τῆς ὑγιείας(⁸) ἐπιτυγχάνει. Καὶ ἱερεῖ τινι ἀλάλῳ καὶ ἀναισθήτῳ ὑπὸ νόσου τινὸς γεγονότι τὸ λαλεῖν καὶ αἰσθάνεσθαι ἀποδίδει(⁹) ἡ

---

1. καλῶν.
2. χαίρουσα.
3. ἀπειδόν.
4. ἐπ οὐκ ἀξίαις.
5. ἐξευφροσύνης.
6. γυνή, τῆς γυνῆς παρὰ βυζαντινοῖς χρονογράφοις.
7. φθεγξάμενος ἀντ' αὐτῆς τῆς τελείως ἀσυναρτήτου δοτικῆς προτιμήσαμεν τὴν συνήθη παρὰ Βυζαντινοῖς ὀνομαστικὴν ἀπόλυτον.
8. ὑγείας. πανταχοῦ αὐτὸς ὁ τύπος.
9. ἀπό πηδί.

μακαρία. καὶ παιδίῳ τινί.... παθόντι ὡς μηδὲ τὸ στόμα ἀνοῖξαι δύνασθαι,(1) παρὰ τὸν τάφον αὐτῆς ἀχθέντι τὴν ὑγιείαν ἀποχαρίζεται. Ἕτερος δέ τις ἀνὴρ—Ἰσαάκιος ὄνομα(2) τῷ ἀνδρί— ὑπὸ σατανικῆς προ[σ]βολῆς τὸ φρονεῖν ἀπολέσας κατὰ πεδίον ὥσπερ ἵππος ἐχρεμέτιζε(3) καὶ κρημνοὺς ὀρέων καὶ δυσβάτους ὁδοὺς διήρχετο δεσμὰ πάντα καταρρηγνύς, μόλις ὑπὸ τῶν οἰκείων κρατεῖται καὶ δεσμοῖς παρὰ τὸν τάφον τῆς ἁγίας ἄγεται καὶ τὴν ὑγιείαν ἐκεῖθεν τελείαν ἀπολαμβάνει. Σὺν τούτῳ καὶ ἕτερος κομισθεὶς ὑπὸ δαίμονος ἐνοχλούμενος καὶ αὐτὸς καθαρᾶς τῆς ὑγιείας ἔτυχε καὶ μετὰ τῶν ἰδίων ἀγαλλόμενος τὴν οἰκίαν αὐτοῦ κατέλαβεν.

§ 56. Τὰ γοῦν πλείονα τῶν θαυμάτων τῆς μακαρίας διὰ τὸ πλῆθος τῆς διηγήσεως ἑκὼν [ἄκων] ὑπερβήσομαι· ἐπεὶ δὲ τοὺς φιλακροάμονας(4) πάσχειν πέφυκε γλιχομένους(5) μαθεῖν περὶ τῶν τῆς ἁγίας παίδων ἐν τίνι βίῳ τῷ τέλει ἐχρήσα[ν]το, ὁ λόγος ὀλίγα τινὰ καὶ περὶ αὐτῶν εἰρηκέναι [βούλεται]. Ὁ μὲν Βαάνης ὑπὸ τῷ πατρὶ αὐξηνθεὶς καὶ εἰς ἄνδρα φθάσας γυναικὶ συζεύγνυται τῶν ἐπιφανῶν καὶ δρουγγαρίου τάξιν λαχὼν οὐκ ἐπήρθη περί τι τῶν τοῦ κόσμου τιμίων, ἀλλὰ τὴν ἰδίαν μητέρα ἐν πᾶσιν ἀπομιμούμενος πρᾷος ἦν, ἡσύχιος, ἱλαρός, ἐπιεικής, χρηστός, ὑπερβάλλων πάντας(6) τοῖς περιδεξίοις τῶν στρατιωτικῶν κατορθώμασιν· ἦν μὲν γὰρ ἀνδρεῖος κατὰ τὸ σῶμα, πολλῷ δὲ ἀνδρειότερος κατὰ ψυχὴν καὶ προαίρεσιν, χρημάτων δὲ καὶ κερδῶν πάντων ἀνώτερος ὢν παρεχώρει ἀεὶ τοῖς συστρατιώταις τῶν σκύλων,(7) ὡς ἐντεῦθεν προσφιλὴς εἶναι αὐτοῖς καὶ περίδοξος καὶ ἐν τοῖς ἁπάντων στόμασι φέρεσθαι. Ἔσχε καὶ συνασκητὴν καὶ συνεργὸν ἁπάντων τῶν καλλίστων κατορθωμάτων Θεόδωρόν τινα τὸν τὴν τούρμαν(8) διαδεξάμενον τοῦ πατρὸς αὐτοῦ, ἄνδρα γενναῖον τὰ στρατιωτικὰ καὶ ῥωμαλέον, γενναιότερον δὲ τοῖς κατὰ Θεὸν πολιτεύμασιν, ᾧ δὴ συζευχθεὶς οἷα μόσχος εὐγενής τε καὶ ἰσχυρὸς ὡς εἰς πίονα γῆν ἠροτρίων ἐν ἑαυτοῖς καὶ τῶν ἀρετῶν(9)

1. τὸ χωρίον εἶναι ἀκατανόητον «ἐκ τοσούτον ἄρκουσι παθῶντι μελῶν ὡς μηδέ....».
2. ὀνόματι.
3. ἐκρίαιναι (;).
4. φιλοκροάμονας.
5. γλίχομοι.
6. πάντως.
7. τῶν σκαλῶν.
8. τούρμα, ἣν νῦν λέγομεν μεραρχίαν. αὕτη διῃρεῖτο εἰς τρεῖς δρούγγας, ὧν ἑκάστη εἰς 5—15 τάγματα (=1000—3000 ἀνδρῶν).
9. εὑρετῶν.

τὰ σπέρματα ὡς ἄριστοι γεωργοὶ κατεβάλλοντο καὶ κατὰ καιρὸν εὐφροσύνης ἐθέρισαν καρποὺς ὡρίμους Θεῷ καὶ τοῖς θείοις ληνοῖς ἐναπέθεντο καὶ ἀγαλλίασιν αἰώνιον ἐχαρίσαντο.

§ 57. Πλέον δὲ πάντων τῶν ἀρετῶν ὁ Βαάνης τὴν ἐλεημοσύνην ἠσπάζετο κατὰ ζῆλον καὶ μίμησιν τῆς μητρός. Οὐδὲ τῆς θείας ἀκολουθίας ἠμέλει ὁ τῶν θείων καὶ ἀναφαιρέτων ἄριστος ἐραστής, ἀλλ' ἑκάστην ἡμέραν μετὰ καὶ ἀκολουθίας ὡρῶν δώδεκα τὸ ἅπαν ἐστιχολόγει ψαλτήριον(1) καὶ ἑσπέρας ἀεὶ πρὸ τῶν ὕπνων καὶ μετὰ τὴν τῶν ἀποδείπνων ἀκολουθίαν παράκλησιν πρὸς τὴν ἀειπάρθενον τοῦ Θεοῦ ἡμῶν μητέρα διὰ κανόνων τεσσαράκοντα ἐποιεῖτο(2) βίβλῳ τὸ παράπαν μὴ χρώμενος ἐν τούτοις καὶ τῆς λοιπῆς δὲ ἁπάσης ἀκολουθίας(3) οὐδέποτέ τινος ἀπελείπετο. Ἐπεὶ καὶ αὐτὸν αἱ οὐράνιαι μετεκαλοῦντο μοναὶ διὰ φυσικῆς ἀκολουθίας τοῦτο γενέσθαι προστάττει ὁ Κύριος· ὅθεν καὶ κοιλιακῷ νοσήματι περιπίπτει, ἐφ' ᾧ καὶ τὴν Κωνσταντίνου καταλαμβάνει ἰάσεως δῆθεν χάριν. Τὸ δὲ ἦν τῆς τοῦ Θεοῦ προνοίας καὶ οἰκονομίας τοῦ κρείττονος. ᾗ γὰρ ἡμέρᾳ τὴν Κωνσταντίνου ὁ Βαάνης μετὰ τῆς νόσου κατέλαβεν, ἐν αὐτῇ καὶ ὁ ἀδελφὸς αὐτοῦ Συμεὼν καταλαμβάνει ἐκ τοῦ ὄρους τοῦ Κυμινᾶ, καὶ παρὰ τῇ πύλῃ τῆς οἰκίας, ἐν ᾗ σκηνοῦν ὁ Βαάνης ἔμελε παρὰ δόξαν συναντῶσιν ἀλλήλοις, πρᾶγμά τι θεῖον τοῖς τότε θεασαμένοις καὶ τοῖς νῦν ἀκούουσιν. Ἐνταῦθα ἀσπασάμενοι ἀλλήλους(4) καὶ συλλαλήσαντες τὰ εἰκότα τῷ Θεῷ τὴν εὐχαριστίαν ἀπένειμαν.(5) Τυγχάνει δὲ ὁ Βαάνης διὰ τῶν χειρῶν τοῦ ἀδελφοῦ αὐτοῦ Συμεὼν τοῦ θείου

---

1. Ὡς διατυποῦται ἡ καθημερινὴ ἀκολουθία εἶναι ὑπερβολική· διότι μόνον τοῦ ὄρθρου εἶναι ἑπτάωρος. ὅθεν τὸ χωρίον δὲν ἔχει ἔννοιαν. κατ' ἐμέ : ἐστιχολόγει τὰ διατεταγμένα δύο καθίσματα τοῦ ψαλτηρίου καὶ τὰς συνήθεις ὥρας μετὰ τὴν ἀκολουθίαν καὶ ἐπεράτωνε περὶ τὴν δωδεκάτην ὥραν τὴν προσευχὴν ἢ (κατὰ τὸ εὐρωπ. ὡρολόγιον) εἰς τὰς 6 πρωϊνῆς, ἤτοι τὸ ὅλον προσηύχετο μίαν ὥραν καθ' ἑκάστην· οὕτω πρέπει νὰ ἐννοηθῇ. ἄλλως μόνον ὁλόκληρον τὸ ψαλτήριον νὰ ἀναγνωσθῇ ἀπαιτοῦνται 6 ὧραι τοὐλάχιστον.

2. Καὶ ἐνταῦθα ἡ ἔννοια εἶναι, ὅτι ἀναγίνωσκε τὴν παράκλησιν ἐκ τοῦ «Θεοτοκαρίου», ὅπερ περιεῖχε 40 κανόνας δηλ. ὁ Βαάνης ἐπεραίου τὴν κοινοβιακὴν ἀκριβῶς ἀκολουθίαν.

3. ἤτοι τῆς θείας λειτουργίας, διότι μετὰ τὴν ἀνωτέρω περιγραφεῖσαν ἀκολουθίαν μόνον ἡ λειτουργία ὑπολείπεται.

4. ἀλλήλοις.

5. ἀπένειμον.

καὶ ἀγγελικοῦ(¹) σχήματος, Μαρῖνος μετονομάζεται καὶ εἰς τὰς θείας σκηνὰς μετοικίζεται δευτέραν τότε τοῦ Ἰουνίου μηνὸς ἄγοντος, κατατίθεται δὲ τὸ σεβάσμιον αὐτοῦ καὶ τίμιον λείψανον εἰς τὴν μονὴν τῆς θεοτόκου τὴν «τὰ Κορώνης» ἐπονομαζομένην πλησίον τῆς Ἀσπάρου κινστέρνης.(²).

§ 58. Τὸ μὲν δὴ τούτου τέλος τοιοῦτον ἔσχε τὸν τρόπον· εἰ δὲ καὶ ὁ ῥηθεὶς Συμεὼν ἐκ τῶν πολλαχοῦ τοῦ λόγου περὶ αὐτοῦ λεχθέντων ***τοῖς ἁγίοις συντάττοιτο,*** τοῖς θείοις ἀνδράσιν, ὁ λόγος σκοπεῖν ἀφίησιν. Γραμμάτων μὲν οὖν γέγονεν ἔμπειρος καὶ εἰς βασιλείους αὐλὰς ἀπετάχθη διάγειν, ὡς εἴρηται, καὶ ὁ τρόπος αὐτοῦ προκόπτειν αὐτὸν ἐδίδου τοῖς παρὰ ἀνθρώποις(³) κρείττοσιν, ἀλλ' ἔρωτι τῶν θείων ἀλοὺς(⁴) καὶ τὴν ὄντως μερίδα εὐαγγελικῶς ἐκλεξάμενος ἑκουσίως καταλιμπάνει τὰς γηΐνους τιμὰς καὶ Θεῷ μόνῳ ζῆν ἐγνωκὼς ἀσκητικοῖς πόνοις ἐκδίδωσιν ἑαυτὸν καὶ ὄρη διερχόμενος ἐξ ὀρέων καὶ τόπους ἀμείβων ἐκ τόπου καὶ κατὰ τὰς μελίσσας, ὡς ἐξ ἀνθέων τῶν ἀρετῶν συλλέγων τὰ κρείττονα σκεῦος ἑαυτὸν τῆς ὄντως γλυκύτητος κατεσκεύασε, καὶ πάσης πικρίας γηΐνης ἐκκαθαρθεὶς οἶκος Θεοῦ ἐχρημάτισε· πλουτεῖ γάρ καὶ ἄκων τὸ τῆς ἱερωσύνης ἀξίωμα διά μόνην ὑποταγὴν τῷ ἐπιστατοῦντι καταπεισθείς. ἔδει μὴν τοιούτους <οὓς> ἐκ τοιαύτης [μητρὸς] γενέσθαι, θείους ἐκ θείας, θαυμασίους ἐκ θαυμασίας καὶ χρηστοὺς ἐν χρηστῆς καὶ ἐξ ἁγίας ἁγίους, ἀφιερωμένους Θεῷ ἐκ γενέσεως ἢ μᾶλλον εἰπεῖν καὶ πρὸ αὐτῆς τῆς γενέσεως.

§ 59. Ἐπειδὴ ἡ τούτους τεκοῦσα ἑαυτὴν ὅλην ἐκ βρέφους Θεῷ

---

1. εὐαγγελικοῦ.

2. Ἀσπάρου γγιστέρνης. ἄλλ κινστέρνα συνήθως γράφουσι καὶ ἔπειτα κατήντησε στέρνα καὶ εἶναι ἡ δεξαμενή. εἶναι περίεργον ὅτι τὸ γγιστέρνα, καὶ εἰς ἄλλα χειρόγραφα συναντᾶται. Διατὶ τὸ cisterna ἐγράφη κινστέρνα καὶ ἔπειτα γγιστέρνα εἶναι ἔργον τῶν γλωσσολόγων νὰ ἐξετάσωσιν. Οἱ Βυζαντινοὶ ἀπὸ τοῦ Ἡσυχίου καὶ ἑξῆς διετήρησαν τὸν τύπον κινστέρνα (βλ. Meursius, σ. 244). Ὁ Ἄσπαρος ἦν Ἀλανὸς ἀρχηγὸς τῶν ἐν τῷ Βυζαντίῳ ἐγκατεστημένων Γερμανῶν στρατιωτῶν ἢ τῆς λεγομένης αὐτοκρατορικῆς φρουρᾶς, τῆς μεγάλης ἐκείνης οἰκογενείας, ἥτις ἀνεβίβαζε καὶ κατεβίβαζε τοὺς αὐτοκράτορας. Ἐκ τοῦ βίου τούτου μανθάνομεν, ὅτι τὸ ὄνομα τοῦτο ἕως τότε ἐσώζετο (βλ. εἰσαγωγήν).

3. ἀνθρωπίνοις.

4. ἄλλως.

ἀφιέρωσεν ἐξ ἰδίας τῆς προαιρέσεως, οἶκος ἁπάντων γέγονε([1]) τῶν ἀρετῶν, αἷς ὁ πάντων Θεὸς ἐπευφραίνεται· τίς γάρ ἐξειπεῖν δυνηθείη τὸ εὐγενὲς αὐτῆς τοῦ φρονήματος, τὸ τῆς σωφροσύνης ὡραῖον, τὸ τῆς ἀγχινοίας περικαλλέστατον, τὸ πρὸς πάντας ἱλαρὸν καὶ εὐμενὲς καὶ ἐπίχαρι, τὴν πραότητα, τὴν συμπάθειαν, τὸ ἐπιεικές τε καὶ μέτριον ἐν πᾶσι καὶ διὰ πάντων, τὸ πρὸς τοὺς δεομένους πάντας χρηστὸν καὶ φιλάνθρωπον, ἐν ᾧ καὶ τὴν ἄμετρον ἐλεημοσύνην ἠσπάζετο τε καὶ ἐξεπλήρου μηδὲν ἑαυτὴν περιποιουμένη, ἀλλὰ πάντα τοῖς πτωχοῖς χορηγοῦσα. Πόσας, οἴεσθε,([2]) θυγατέρας πρὸς γάμον ἐξέδοτο οἴκοθεν προῖκα προθεῖσα; πόσους ἀνέπλασεν νέους ὀρφανίᾳ διεφθαρμένους; πόσαι γυναῖκες χηρεύουσαι ἐκ τῶν ἐκείνης δωρεῶν φιλοτίμως παραμυθίας ἀπήλαυσαν; πόσους πεινῶντας ἐξέθρεψε; πόσους γυμνοὺς ἐνέδυσε; πόσους διψῶντας ἡδίστου πόματος ἐνεφόρεσεν, ἔπνευσεν ἐκείνην μᾶλλον, ἢ τὸν ἀέρα οἱ πένητες.([3]) οἱ προσταλαιπωροῦντες τῷ κρύει καὶ τῷ ψύχει πηγνύμενοι περιεθάλφησαν ἀπὸ ἐνδυμάτων αὐτῆς, οἱ μηδὲ ὕδατος δυνάμενοι εὐπορεῖν τῇ τῶν μελῶν παρέσει, ἐκείνην ἔσχον τῶν ἀναγκαίων παροχέα ἀέναον. αὐτῇ συμβαίνει προσφόρως λεχθῆναι τὸ τοῦ Ἰώβ, τὸ τὴν αὐτῆς θύραν εἶναι παντὶ αἰτοῦντι ἠνεῳγμένην. τὰς δὲ δὴ περὶ τοὺς θείους ναοὺς πορείας, ὁλονυκτίους προσευχάς, τὰς παννύχους στάσεις, τὰς γονυκλισίας τὰς ἀμυθήτους, τοὺς ἀπὸ τούτων ποταμηδὸν περιρρεομένους αὐτῇ ἱδρῶτας, τὰ συνεχῆ καὶ ἀέννaα δάκρυα τίς ἂν λέγειν ἰσχύσειεν; τὰς ἐν τοῖς πειρασμοῖς δ' αὖθις καρτερίας αὐτῆς, τάς τε ἐν συκοφαντίαις καὶ ἐν ταῖς διαβολαῖς γενναιότητας ἐκ σταθεροτάτης διανοίας προβεβλημένας, καὶ τὴν ἐν λύπαις καὶ συμφοραῖς ταύτης ὑπομονὴν ἀνένδοτόν τε καὶ ἀνυπόκριτον τίς οὐκ ἂν ἐκπλαγείη τε καὶ θαυμάσειε; πρὸς τούτοις δὲ τίς ἂν δυνηθείη λόγος ἀπαριθμῆσαι τὰς μετὰ θάνατον εὐεργεσίας αὐτῆς κοινῶς πρὸς πάντας τάς τε γεγενημένας ἰάσεις τε καὶ θαυματουργίας καὶ τὰς γινομένας ἀεὶ καὶ χορηγουμένας τοῖς δεομένοις καὶ πίστει βεβαίᾳ τῷ θείῳ ταύτης προτρέχουσι [ναῷ]. καὶ πῶς γάρ οὐκ εἶχε καὶ μετὰ θάνατον τοῖς χρῄζουσιν ἐπαρκεῖν; ὅπου γε καὶ πλέον εἴληφε τὸ δύνασθαι τὸ εἴ τι ποὺ ἐναπελείφθη αὐτῇ πάχος σαρκίου ἀποθεμένη καὶ καθαρῷ τῷ πνεύματι τῷ Θεῷ ἀμέσως προμιλοῦσα καὶ τοῖς ἐν χάριτι παισὶ τοῦ Θεοῦ συναρίθμιος εἶναι πλουτίσασα.

1. γεγονία.
2. οἴασθαι.
3. γράφ. ἔπνευσεν ἐκείνην μᾶλλον ὁ ἀὴρ ἢ τοὺς πένητας.

§ 60. Ἀλλ᾽ ὦ σεβασμία Μαρία, τῶν ἐν κόσμῳ καλῶς βιωσα-μένων ἁπάντων (sic) γυναικῶν ἐγκαλλώπισμα. Τὸ τῶν δικαίων ἐντρύφημα καὶ τῶν ὁσίων γλυκύτατον ἥδυσμα. Τὸ τῶν ἀρετῶν δοχεῖον, τὸ τῶν χαρίτων σκεῦος, ὁ τῶν ἰαμάτων ἀκένωτος θησαυρός, τὸ τῶν ταμιείων τῶν δωρεῶν τοῦ θείου καὶ παναγίου πνεύματος σὺν τῷ τιμίῳ χορῷ τῶν παίδων, τῇ παναγίᾳ καὶ μακαρίᾳ Τριάδι παρισταμένη καὶ μετὰ παρρησίας βοῶσα; «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκας, Κύριε», ἵλεων ἡμῖν τοῖς ἀναξίοις [ἀπέργασαι] τὸν εὐδιάλλακτον καὶ μακρόθυμον καὶ ἀνεξίκακον Κύριον συλλαβοῦσα συμπρεσβευτὰς καὶ συλλήπτορας τῶν ὁσίων τὰ πλήθη, τῶν μαρτύρων τοὺς δήμους. τῶν δικαίων τὰ τάγματα, τὰς τῶν ἀγγέλων χορείας, τῶν ἀποστόλων τὸ στῖφος, τῶν προφητῶν τὸ συνάθροισμα καὶ τῶν πατέρων τὸ σύνταγμα· πάντες γάρ, εὖ οἶδα, συμπρεσβεύουσιν ὑπὲρ ἡμῶν φιλανθρωπίας ἐν ἑαυτοῖς εἶδος φέροντες, ἐπειδὴ γνήσιοι μαθηταὶ τοῦ φιλανθρώπου γεγόνασι, πρὸ πάντων δὲ καὶ μετὰ πάντων, ἔχεις τὴν αὐτοπαράκλησιν τοῦ γένους ἡμῶν, τὴν τοῦ παντὸς Κυρίαν καὶ Δέσποιναν Θεοτόκον, τὴν ἀειπάρθενον μητέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀεὶ δυσωποῦσαν ὑπὲρ ἡμῶν καὶ οὐδέποτε τῆς δι᾽ ἡμᾶς πρεσβείας ἀπολειφθεῖσαν.

§ 61. Οὕτω δὲ ἀνιλεούμενος (sic) ὑπὸ πάντων ὁ φιλάγαθος Κύριος, ὁ ἀεὶ νικῶν τῇ αὐτοῦ φιλανθρωπίᾳ καὶ ἀγαθότητι τὰ πλήθη τῶν ἡμετέρων ἀνομημάτων, ἴσως συνήθως δυσωπηθήσεται, ἐπικαμφθείη καὶ ἐπιβλέψειε ἐφ᾽ ἡμᾶς εὐμενῶς καὶ ἐπιτρέψειε τὴν καθ᾽ ἡμῶν αὐτοῦ ὀργήν τε καὶ ἀγανάκτησιν ἐλεήσας ἡμᾶς διὰ μόνην τὴν αὐτοῦ ἄφατον ἀγαθότητα καὶ φιλανθρωπίαν καὶ τῶν συνεχουσῶν ἡμᾶς ὀδυνῶν καὶ ἀφορήτων συμφορῶν ἐλευθερωθείημεν καὶ ὄλεθρον ἴδωμεν(1) παγγενῆ τῶν ἐπικειμένων ἡμῖν δυσμενεστάτων ἐχθρῶν καὶ δίκην θηρῶν(2) ἀγρίων ἐπεμβαινόντων ἡμῖν καὶ λυμαινομένων τὸ ποίμνιον τοῦ Χριστοῦ, τὸν ἐκλεκτὸν κλῆρον, ὃν διὰ τοῦ ἰδίου αἵματος ἐκ τῆς κατάρας ἐξηγοράσατο. Ναί, σεβασμία μῆτερ Μαρία, τὸ θαῦμα τῆς νῦν γενεᾶς, μὴ διαλίπῃς αἰτουμένη τοῖς χριστωνύμοις ἡμῖν εἰρήνην βαθεῖαν καὶ τὰ ἐκ Θεοῦ ἀγαθά. Τοῖς ἐκ Θεοῦ τε δικαιωθεῖσιν ἐπὶ γῆς βασιλεύειν ἡμῶν νίκην κραταιὰν ἐκζητοῦσαν κατὰ πάντων τῶν ἐναντίων ἐχθρῶν καὶ τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ αὔξησιν καὶ εὐστάθειαν καὶ ἕνωσιν ἀρραγῆ. ***Προϊσταμένη δ᾽ ἂν εἴης καὶ τῆς καλλίστης***

1. ἴδαμεν.
2. θρηνῶν.

*τῶν πόλεων ταύτης Βιζύης, καθ' ἣν σοῦ τὸ ἱερώτατον καὶ ἅγιον σῶμα ἐπεβράβευσεν.* ὁ Θεὸς εἰς κοινὴν τῶν ἐνοικούντων βοήθειαν καὶ ἀντίληψιν καὶ ἀποτροπὴν νοσημάτων παντοίων καὶ τῶν ἀφανῶν τε καὶ φανερῶς ἀντικειμένων ἐχθρῶν. τῷ ἀρχιερεῖ δὲ συν τῷ κλήρῳ παντὶ καὶ πᾶσι τοῖς ἐτησίως τιμῶσί σε σωτηρίαν ἀεὶ παρέχουσα καὶ πάσης νόσου ἀπαλλαγὴν εἰς δόξαν Πατρὸς Υἱοῦ καὶ ἁγίου Πνεύματος, τῆς παναγίας καὶ ὑπερουσίου Τριάδος, τῆς μιᾶς θεότητος καὶ βασιλείας, ᾗ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## *Ἐπίλογος. Παραλειπόμενα περὶ τῆς πόλεως Βιζύης.*

Ὁ ἐν τῷ ὑστερογράφῳ μνημονευθεὶς Γιάγκος περὶ τῆς ἱστορίας καὶ τῶν καλλονῶν αὐτῆς γράφει : «Ἡ Βιζύη ἔχει μακρὰν ἱστορίαν καὶ δύναται μάλιστα νὰ ἐγκαυχηθῇ ἐπ' αὐτῇ, καθ' ὅτι οὐχὶ πάμπαν αὕτη ἄσημος. Ὅπως γηράσασά τις κόρη, ἂν καὶ τὰ πολυπληθῆ ἀπελθόντα ἔτη ἀφήρεσαν ἀπ' αὐτῆς ἀλληλοδιαδόχως καὶ ἀνὰ ἓν θέλγητρον, διατηρεῖ ἐν τούτοις προφανῆ ἴχνη τῆς ἀκτινοβολούσης ἄλλοτε αὐτῆς ὡραιότητος..... τὰ μαρτυροῦντα ἐπαρκῶς τὸ πάλαι αὐτῆς μεγαλεῖον».[1] καὶ ἐξιστορεῖ τὰ ὑπάρχοντα τείχη, τοὺς πύργους, τοὺς τύμβους (τούμπαις), ἀναφέρει τὰ νομίσματα, τὸν ναὸν τῆς ἁγίας Σοφίας (νῦν τέμενος) καὶ τὰ πέριξ σπηλαιώδη ἀσκητήρια καὶ τὴν ἐπιγραφὴν «Θεῷ ἁγίῳ ὑψίστῳ». Αὕτη εὑρέθη εἰς τὸ χωρίον Μαγκρυώτισσα (170 οἰκογ. ἐν τῇ πεδιάδι). «Κατά τινα (παράδοσιν) ὠνομάσθη ἐκ τῆς.... Παναγίας μακαριωτίσσης,[2] κατ' ἄλλην ἐκ τοῦ Παναγία ἡ μεγαριώτισσα. καθότι ἐκ Μεγάρων τις ἐλθὼν ἔκτισεν ἐκεῖ.... ἐκκλησίαν....[3] Ἐκτὸς τοῦ χωρίου εἰς μικρὰν ἀπόστασιν ἐντὸς μικροῦ ἄλσους τινός, ὅπου καὶ τὸ νεκροταφεῖον, εὕρηται ὄγκος μαρμάρινος τετράγωνος φέρων ἐπὶ τῆς μιᾶς πλευρᾶς τὴν ἑξῆς τῶν ρωμαϊκῶν χρόνων ἐπιγραφὴν (βλ. κατωτέρω). Ἕως πρό τινων ἐτῶν τὸ μνημεῖον ἦν ἀνέπαφον. ἀλλ' ἐπ' ἐσχάτων μεταβάντες κρύφα τινὲς πρὸς ἐξεύρεσιν δῆθεν τοῦ ἐγκεκλεισμένου θησαυροῦ κατέσπασαν αὐτὸ ἱεροσύλως ἐκ τοῦ ἀνεπιγράφου μέρους» (αὐτ. 81—82). Παραλαμβάνομέν τινα ἐκ νεωτάτης ἱστορίας[4] ἀναφερόμενα εἰς τὰς ἀρχαιότητας. «Νομίσματα δὲ τῆς ῥωμαϊκῆς

1. Ἡμερολ. ἀνατολῆς τοῦ 1885, σ. 67—70. συνεχίζει δὲ τὴν ὡραίαν ὄντως ταύτην περιγραφὴν καὶ ἐν τῷ τοῦ 1886, σ. 83—119 τόμῳ.
2. Μακαριώτισσα μονὴ ὑφίσταται καὶ νῦν ἐν τῇ ἐπαρχίᾳ Θηβῶν εἰς τὰς ὑπωρείας τοῦ Ἑλικῶνος.
3. Ἡ τρίτη παράδοσις ἐκ τοῦ «μακριὰ» (ὑψηλὴ) Χιώτισσα εἶναι ἐξεζητημένη καὶ ἀπορρίπτεται.
4. Σάββα Ἰωαννίδου, «Ἱστορία τῆς Βιζύης ἀνατολικῆς Θράκης». γραφεῖσα τῷ 1886, Ἀθῆναι, 1954, σ. 10.

ἐποχῆς δεικνύουσι τὴν τῆς Βιζύης σχέσιν πρὸς τοὺς αὐτοκράτορας. ἔστι τὸ ἔνθεν μὲν Βιζύης, ἔνθεν δὲ Ἰουλίας σεβαστῆς. ἕτερον Βιζυηνῶν καὶ ἑτέρωρωθεν Ροιμητάλκους, Βιζυηνῶν καὶ Κλαυδίου, Βίζας καὶ Φιλίππου ἕτερον, Φίλιππος βασιλεὺς καὶ ἑτέρωθεν Βιζυηνῶν, καὶ ἄλλα πολλὰ τὰ πλεῖστα μὲν χαλκᾶ, ἀλλὰ μεθ' ἱκανῆς φιλοκαλίας. ἐν τούτοις τοῖς νομίσμασι παρίσταται ἡ Δήμητρα καὶ ἐν πολλοῖς ὁ Ἀσκληπιός. Καὶ πολλαὶ μὲν ἐπιγραφαὶ ἠδύναντο νὰ δώσωσιν ὕλην ἱστορικὴν ἐνταῦθα, ἀλλὰ δυστυχῶς ἅπασαί εἰσιν ἠκρωτηριασμέναι, μίαν δὲ καίτοι ἐκδοθεῖσαν καὶ πάλιν ἐνταῦθα ἀναγράφομεν πρὸς συμπλήρωσιν τῆς ἱστορίας Βιζύης τῆς κατὰ τὴν ἐποχὴν ταύτην :

ΘΕΩ ΑΓΙΩ
ΥΨΙΣΤΩ

Ὑπέρ τῆς Ροιμητάλκου καὶ Πυθοδωρίδος
ἐκ τοῦ κατὰ τὸν Κοιλαλητικὸν πόλεμον
αὐξάμενος κινδύνου σωτηρίας καὶ ἐπιτυχὼν Γάϊος Ἰούλιος
Κρόκος Χαριστήριον[1].

«Ἡ ἐπιγραφὴ αὕτη εὑρίσκεται παρὰ τῇ πρὸς Ν. τῆς Βιζύης μίαν ὥραν ἀπεχούσῃ κώμῃ Μαγκριωτίσσῃ ἐν τῷ οὐ μακρὰν αὐτῆς δρυμῶνι, ὅπερ θὰ ἦτο μὲν τότε ἄλσος καὶ ναός, νῦν δὲ νεκροταφεῖον, ἔνθα καὶ νῦν ἐρημοκκλήσιον τῆς ἁγίας Ἄννης. Εἶναι ἡ ἐπιγραφὴ ἐπιγεγραμμένη ἐπὶ λίθου ἐκ μαρμάρου, ὅστις, ἦν στηλοβάτης ἀγάλματος τοῦ θεοῦ, πρὸς ὃν τὸ χαριστήριον, εἶτα δὲ ἐχρησίμευσεν ὡς ὑποστήλιον ἁγ. Τραπέζης. Καὶ ἐκ μὲν τῆς γραφῆς φαίνεται ἐποχῆς τοῦ Αὐγούστου, ὁ δὲ τὴν εὐχὴν ποιῶν Γάϊος θὰ ἦτο φίλος

1. Τὴν ἐπιγραφὴν ἀσφαλῶς ὁ Ἰωαννίδης ἀντέγραψεν ἐκ τοῦ Ἡμερολογίου, ὅθεν ἔλαβε καὶ ἄλλα πολλὰ χωρὶς νὰ ὀνομάσῃ τὴν πηγήν. Αὕτη τὸ πρῶτον ἐδημοσιεύθη ὑπὸ τοῦ ἀρχαιολόγου Γάλλου Perrot ἐν Mélanges d' archéologie, σ. 451. Ἐντεῦθεν ἀνεδημοσίευσεν αὐτὴν ὁ Dumont εἰς «Inscriptions et monuments figurés de la Thrace» τῷ 1878. (ὁ μὲν Γιάνκος ἔγραφε τῷ 1884, ὁ δὲ Ἰωαννίδης τῷ 1886, ἀλλ' ἠγνόουν τὸν Dumont) σ. 31 καὶ ἔχει διαφοράς τινας πρὸς τὸ κείμενον τῶν Ἑλλήνων.

> «Θεῷ ὑψίστῳ ἁγίῳ ὑπὲρ τῆς Ῥοιμητάλκου καὶ
> Πυθοδωρίδος ἐκ τοῦ κατὰ τὸν Κοιλα[λ]ητικὸν
> πόλεμον κινδύνου σωτηρίας εὐξάμενος καὶ
> ἐπιτυχὼν Γάϊον Ἰούλιος Πρόκος (Πρόκλος).
> χαρισι[ήρι]ον».

Βεβαίως τὸ αὐξάμενος τοῦ Ἰωαννίδου θὰ εἶναι τυπογρ. σφάλμα. Ὁ Γιάγκος ἔχει εὐξάμενος. Οὗτος ἔχει καὶ ἄλλας τινὰς ἐπιγραφάς, ὧν ἡ τοῦ βασιλέως τῶν Ὀδρυσῶν Κότυος σ. 92 τελευτᾷ εἰς τὸ «Πατρώοις Θεοῖς» δεῖγμα καὶ τοῦτο τῆς εὐσεβείας τῶν εἰδωλατρῶν κατοίκων τῆς Βιζύης.

ἡ συγγενὴς τοῦ Ροιμητάλκους· ὁ δὲ Ροιμητάλκης καὶ ἐκ πολλῶν θρακικῶν νομισμάτων γνωστός, ἦτο βασιλεὺς τῆς πρὸς τὴν Βιζύην Θράκης, ἀλλ' οὐχὶ καὶ τῆς Βιζύης, ἥτις φαίνεται αὐτόνομος οὖσα ὡς καὶ τὰ τῆς ἐποχῆς νομίσματα αὐτῆς δηλοῦσιν, ὅτι καὶ εἰς τιμὴν τῶν τότε αὐτοκρατόρων ἐξέδιδε νομίσματα καὶ αὐτοῦ τοῦ Ροιμητάλκους ὡς φίλου τοῦ Αὐγούστου, ὅστις καὶ σύμμαχος ἐγένετο τοῦ Αὐγούστου ἐν τῇ κατὰ τὸ Ἄκτιον μάχῃ εἰς τὸν μεταξὺ Ἀντωνίου καὶ Αὐγούστου πόλεμον. Ἀλλὰ τὶς ὁ Κοιλαλητικὸς οὗτος πόλεμος τὴν ἐκ τοῦ ὁποίου σωτηρίαν εὔχεται ὁ Γάϊος τῷ τε Ροιμητάλκῃ καὶ τῇ Πυθοδωρίδῃ; Ἐνταῦθα πρέπει νὰ ὑποθέσωμεν, ὅτι χώρα τις θρακικὴ Κοιλαλία (πιθανὸν ἡ μεταξὺ Μηδείας καὶ Στράντζας νῦν καλουμένη ἐπαρχία Κοιληγκόζ, Κοιλανία, Κοιλαλία) ἀπεστάτησε κατὰ τοῦ Ροιμητάλκους. Ἡ δὲ Πυθοδωρὶς ἡ ἐκ Τράλεων, (sic) ἡ θεία Στράβωνος καὶ φίλη τοῦ Αὐγούστου, ἥτις τέως βασιλεύουσα ἐν Πόντῳ διὰ τοῦ Αὐγούστου ἀνέκτησε καὶ τὴν Καβείραν ἐπονομάσασα Αὐγούστην, νῦν δὲ Ἀργούσσην καλουμένην δύο ὥρας ὑπὲρ τὴν Νεοκαισάρειαν. φέρεται δὲ καὶ νόμισμα ἔνθεν μὲν Ροιμητάλκους ἑτέρωθεν δὲ Αὐγούστου. Αἱ δὲ λέξεις, ἅγιος, ὕψιστος θεός, καίτοι ἔχουσί τι χριστιανικόν, ἀλλ' ἤδη συνήθεις τότε καὶ παρὰ τοῖς ἐθνικοῖς, ἀποδοτέαι εἰς τὸν Σωτῆρα Δία ὕψιστον, ὕπατον θεῶν «καὶ πατέρα ἀνδρῶν τε θεῶν». χαριστήριον δὲ ἡ ἔκφρασις αὐτοῦ τοῦ Γαΐου χαρᾶς, ὅτι, δεηθέντος αὐτοῦ ὑπὲρ τῆς αὐτῶν σωτηρίας ἐπήκουσε τῆς δεήσεως αὐτοῦ ὁ θεὸς καὶ ἔσωσεν ἐκ τοῦ κινδύνου ἀμφοτέρους Ροιμητάλκην καὶ Πυθοδωρίδα· καὶ τοῦτο δὲ πείθει ἡμᾶς νὰ εἰκάσωμεν, ὅτι ὁ Κοιλαλητικὸς πόλεμος ἐγένετό που τῶν ὀρέων τῆς Θράκης, ἐν ᾧ κίνδυνος ἀμφοτέροις ἐπῆν.

»Ἡ ἐποχὴ αὕτη τῆς Βιζύης ἦτο ἡ λαμπροτέρα τῶν ἄλλων. Τὰ ἐρείπια καὶ λείψανα ἀρχαῖα τὰ σωζόμενα μέχρι τοῦδε ἐν Βιζύῃ καὶ τοῖς πέριξ ὑπεμφαίνουσιν ἀκμὴν καὶ πολιτικὴν καὶ ἐμπορικήν. Πρῶτον τὰ ὡραῖα αὐτῆς τείχη, ὧν οὐδαμοῦ ἔχομεν τῆς Θράκης ἕτερον παράδειγμα, ἐξοχικά τινα ἔργα, ὑδραγωγεῖα καὶ προτομαὶ καλλιτεχνικώταται περὶ ὧν ἐν τῷ τέλει τῆς παρούσης ποιησόμεθα τὸν λόγον. Τύμβοι δὲ (Τοῦμβες νῦν ὀνομαζόμεναι) ὑπὲρ τοὺς 30 ἐν τοῖς πέριξ ὁρώμενοι, Μακεδονικῆς δὲ καὶ Ρωμαϊκῆς ἐποχῆς καὶ χρήσεως ὑποδεικνύουσαι τὴν τῆς ἐποχῆς ταύτης εὐπάθειαν καὶ πλοῦτον τῶν κατοίκων τῆς πόλεως . . . . . . . . . . . . . . . . . . . . . . .

»Κατὰ τὴν ἐποχὴν δὲ τῶν Σταυροφόρων ὑπῆρξε τὸ ἀμυντήριον, τοῦ κατὰ τὴν Θράκην Ἑλληνισμοῦ, τῶν ἐκ Δύσεως ξένων. Καὶ τῷ ὄντι ἀπέκρουσε τὰς προσβολὰς τῶν Σταυροφόρων ἐπιθυμούντων νὰ ἐπεκτείνωσι τὴν κυριαρχίαν αὐτῶν καὶ εἰς τὰ βόρεια μέρη τῆς Θράκης. Ἐπειδὴ κατὰ τὸν Νικήταν τὸν Χωνιάτην «ἐκ τῶν πλείστων καὶ μεγίστων πόλεων (Θράκης) ἀσκύλευτοί τε καὶ ἀκαθαίρετοι Βιζύη τε καὶ Σηλυβρία παρὰ Σκυθῶν ἐλήφθησαν· μόναι γὰρ αὗται οὐχ ὅπως ἰσχυραῖς διειλημμέναι τείχεσιν, ἀλλὰ καὶ τῇ τῶν τόπων θέσει μάλιστα κρατυνόμεναι, τὸν παντελῆ διέδρασαν ὄλε-

θρον, μηδ' ἄλλως ὑπὸ Λατίνων οὖσαι ἀνεπισκόπητοι».

»Οὕτω λοιπὸν καρτερικῶς ἐπὶ τὸν μεσαίωνα ὅλον προμαχήσασα ἡ Βιζύη καὶ τοῦ ἔθνους καὶ τῆς ἐκκλησίας, ὑπεδουλώθη καὶ αὕτη ὑπὸ τῶν Τούρκων τῷ 1382 μετὰ πολιορκίαν μηνός.

»Φαίνεται δὲ ἐκ τῆς καταστροφῆς, ὡς μέχρι τοῦδε δηλοῦται, ὅτι μεγάλα ἐπεπόνθει κακά· διότι ἐκ τῶν ἐλλείψεων παραδόσεων ἐκ τῶν ἰθαγενῶν κατοίκων, ἐπὶ πολὺν καιρὸν ἡ Βιζύη διετέλεσεν ἄνευ Ἑλλήνων καταφυγόντων εἰς τὰ ὑπερκείμενα ὄρη, καὶ ὅτι βαθμηδὸν κατῆλθον καὶ ἀπετέλεσαν τὸν σημερινὸν ἑλληνικὸν πληθυσμὸν ἐν τῇ Βιζύῃ καὶ τοῖς πέριξ χωρίοις. Τότε δὲ ἐγένετο καὶ ἡ παντελὴς καταστροφὴ τῶν ναῶν καὶ λοιπῶν δημοσίων κτιρίων, καὶ τῶν ἐν αὐτοῖς περιέργων καλλιτεχνικῶν ἔργων, ὧν συντρίμματα πληροῦσι σήμερον τὴν Βιζύην..... (αὐτ. σ. 10—14).

»Καὶ πρὸς Β. διατηρεῖται ἡ πύλη τῆς ἀκροπόλεως αὐτῆς καί τινες περὶ αὐτὴν πύργοι· μετὰ δὲ τούτους εἶναι ὁ ναὸς [νῦν τζαμίον] τῆς ἁγ. Σοφίας, Βυζ. τέχνης, σταυροειδής, ἐν συνόλῳ δείκνυσι τέχνην ἔξωθεν τῆς 10 ἢ 11 ἑκατονταετηρίδος ἡ ἔσωθεν ὅμως διαίρεσις προδίδει ἀρχαιοτέραν ἐποχὴν καὶ ἔχει μῆκος 22 πήχεων, πλάτος 18 καὶ ἴσον ὕψος, ἐφ' οὗ εἷς καὶ μόνος θόλος· ἡ ἐσωτερικὴ δὲ διάθεσις τοῦ ναοῦ ἔχει πρόναον, τὸν κυρίως ναὸν καὶ τὸ ἱερὸν βῆμα, οὗ ἔνθεν μὲν ἐστὶ σκευοφυλάκιον, ἑτέρωθεν δὲ τὸ διακονικόν, ὕψωθεν δὲ καὶ ἐν τῇ σειρᾷ τοῦ γυναικωνίτου ἡ τῶν ψαλτῶν θέσις, ἑκατέρωθεν δὲ καὶ οὕτω (sic) παρεκκλήσια· πρὸς δὲ τὴν θύραν τοῦ κυρίως ναοῦ ὑπάρχουσι τάφοι ἢ καὶ θέσεις εἰς ἐναποταμίευσιν ἱερῶν λειψάνων. Πρὸς Δ. δὲ αὐτοῦ ἕτερος ναὸς εἰς ἐρείπια, ὁ τοῦ Χριστοῦ καὶ μετὰ τοῦτον ὁ τοῦ ἁγ. Ἰωάννου. ἕτερος δὲ πρὸς τῇ πύλῃ τῆς ἀγορᾶς ὁ τοῦ ἁγ. Νικολάου. Ὅλη ἡ πόλις ἔχει τρεῖς πύλας, πλεῖστα δὲ ὅσα ἀρχαῖα ἀντικείμενα ἐν αὐταῖς ταῖς πρὸ τῆς ἁλώσεως οἰκίαις διεσώζοντο, ἀλλ' ἐν τῇ κατὰ τὸ 1878 καταστροφῇ ἅπαντα ἐξηφανίσθησαν. Τὸ νῦν πρὸς Ν. καὶ ἐπὶ περιβλέπτου θέσεως διοικητήριον νεωστὶ ἐκτίσθη ἐπὶ τῶν ἐρειπίων τῶν πρώτων ἀρχείων τῆς Βιζύης, ἔξωθεν δὲ τοῦ τείχους καὶ πρὸς Δ. ἵστανται 2—3 πύργοι προστατεύοντες ἐπὶ τοῦ ὕδατος (sic), οὗ ἡ πηγὴ ἐστίν, ἐξ ἧς διανέμεται τὸ ὕδωρ καθ' ἅπασαν τὴν ἐντὸς τοῦ τείχους, ἔνθα κατοικοῦσιν Ὀθωμανοί, τὴν πρὸς Β συνοικίαν (Καστρινοὶ) ἑλληνικήν, τὴν Πέρα συνοικίαν (Καρσὶ—Μαχαλᾶ) ἀνάμικτον ἐκ Χριστιανῶν καὶ Ὀθωμανῶν καὶ τὴν ὑπὸ τὸ τεῖχος νοτίως ἐκτεινομένην, τὴν καὶ σημαντικωτέραν, τὴν τῆς Πλάτζας (ἀγορᾶς) τὸ πλεῖστον ἐκ Χριστιανῶν. Ὅλος δ' αὐτῆς ὁ πληθυσμὸς ἐστὶν 1000 οἰκογενειῶν,[1] ὧν 650 Ἑλλήνων καὶ 350 Ὀθωμανῶν ποικίλου γένους. Αἱ

1. Ὁ Γιάγκος (Ἡμερολ. τοῦ 1886, σ. 91) κατ' ἐπίσημον στατιστικὴν τῆς μὲν ἐπαρχίας Βιζύης τὸν πληθυσμὸν ἔχει 19,211 ψυχάς, τῆς δὲ πόλεως 3000, ὧν τὰ 2/3 ἀποτελοῦσιν οἱ χριστιανοί.

τρεῖς ἑλλην. συνοικίαι 1/4 τῆς ὥρας ἀπ' ἀλλήλων ἀπέχουσαι ἔχουσι μίαν καὶ μόνην ἐκκλησίαν ἐν Πλάτζᾳ ἐν ᾗ καὶ τὰ σχολεῖα.

Τοῦ πρὸς Α τείχους καταῤῥεύσαντος ἐχρησίμευσαν οἱ ὀγκώδεις αὐτοῦ λίθοι εἰς οἰκοδομάς, ἐν δὲ ταῖς κατωφερείαις αὐτοῦ πανταχοῦ, ὅπου γίνονται ἀνασκαφαί, ἀναφαίνονται ἐρείπια ἐπισήμων κτιρίων καὶ ἰδίως παρὰ τὸ ἑλλην. νεκροταφεῖον, ἔνθα μικρᾶς γενομένης ἀνασκαφῆς, ἀνεφάνησαν τὰ θεμέλια θεάτρου καὶ θυμέλης ἐκ μεγαλοπρεπῶν λίθων, ὅπου καὶ ἡ προμνησθεῖσα εἰς Κότυν ἐπιγραφὴ εὑρέθη καὶ ἄλλαι τινές. καὶ θώκων καὶ ἑδωλίων τμήματα, ὡς καί τινες προτομαί, μάλιστα μία κεφαλὴ ἀρίστης τέχνης καὶ ἀρχαϊκῆς ἐν διαδήματι (πιθανῶς αὐτοῦ τοῦ Κότυος). Ἐν τῇ ἀνατολικῇ πλευρᾷ καὶ ταῖς ὑπ' αὐτὴν οἰκίαις βρίθουσιν μετόπαι, ἀνθέμια καὶ ἄλλα συντρίμματα καλλιτεχνικά, πολλοὶ δὲ ὑπόγειοι σήραγγες. Ἐν δὲ τῷ κέντρῳ τῆς Πλάτζας ὑπάρχει ἔρημος, ἀλλ' ἐκτεταμένη θέσις ἐκκλησίας, ἥτις μεταξὺ 4 ὁδῶν οὖσα ἦτο ἐθνικὸς ναός εἶτα δ' ἐγένετο ἐκκλησία, διότι τὰ βάθρα αὐτῆς φαίνονται ἀρχαῖα..... καὶ περὶ ταῦτα εὑρέθη ἄγαλμα πελώριον οὗ τὰ τεμάχια φέρονται τῇ δε κακεῖσε, μόνη δὲ ἡ κεφαλὴ οὖσα γυναικὸς τριπλῆ ἢ τὸ φυσικόν, ὁμοιάζει πολὺ τὴν Ἥραν ὡραίας τέχνης· ἐπὶ τῶν κροτάφων φέρει δύο ὀπὰς ἐμφαινούσας, ὅτι τὸ ἄγαλμα ἦν κεκαλλωπισμένον καὶ μετ' ἄλλου καλλωπισμοῦ. Ἐνταῦθα εὑρέθησαν καί τινες Ἑρμαῖ, ὧν μία ἁπλῶς οὖσα στήλη ἔχει κεφαλὴν μὲ πτέρυγας, πρὸς δὲ τὸ στέρνον κέρμα. Πλεῖστα δ' ὅσα ἐντεῦθεν ἐκλάπησαν ἔργα πολλά, οἷον κεφαλαὶ καὶ ἀγάλματα ἡμίθραυστα κ' ἐχρησίμευσαν εἰς τὰ θεμέλια τῆς σχολῆς καὶ τῆς μητροπόλεως. Μία δὲ Σφὶγξ ἄνευ ὅμως κεφαλῆς ἵσταται καλλίστης τέχνης· ἕτερον ἄγαλμα ἄνευ κεφαλῆς καλλίστης τέχνης γυναικὸς κρατούσης ἐν μιᾷ χειρὶ δορκάδα. φαίνεται, ὅτι εἶναι τῆς Ἀρτέμιδος· ἡ δὲ Σφίγξ ἔχει μῆκος 2 πήχεων. ἡ μὲν κεφαλὴ ἐλλείπει, φέρει δὲ τὸν λαιμὸν μετὰ τῶν διηκόντων πλοκάμων καὶ ἐν τῷ στήθει μαστούς, τὸ ἐπίλοιπον εἶναι ὅλως σῶμα λέοντος ἔχοντος πτερὰ ἐπὶ τῶν ὤμων, ἡ δὲ οὐρὰ δράκοντος ἐλλείπουσα τὸ ἥμισυ. Ἐνταῦθα εὑρέθη καὶ ***εἰκὼν τοῦ ἁγ. Γεωργίου ἔκτυπος ἐπὶ μαρμάρου ὕψους ἑνὸς πήχεως 3/4 πλάτους φέροντος ἐν ἑκατέρᾳ δόρυ καὶ σταυρόν, ἐποχῆς τῆς πρὸ τῶν εἰκονομάχων***, ὄπισθεν δὲ τοῦ λίθου φαίνεται ἐπενδύτης καλλιτεχνικοῦ καὶ πελωρίου ἀγάλματος πρὸς τὸν πόδα αὐτοῦ, ***πολλὰ δὲ ἀνάγλυφα ἱππέως ἐπὶ γυμνοῦ ἵππου ὑπάρχουσιν ἐνταῦθα ἀναφερόμενα εἰς τὴν κατ' ἐξοχὴν ἐν Θρᾴκῃ λατρείαν τοῦ Περσέως, ἅτινα ὡς εἰκόνας τοῦ ἁγ. Γεωργίου ἐκλαμβάνουσι,*** στῆλαι δὲ καὶ κιονόκρανα πρὸ πάντων κορινθιακοῦ ῥυθμοῦ καὶ ζωοφόροι καὶ λοιπὰ τῆς καλλιτεχνίας ἀντικείμενα πληροῦσι τὰς ὁδοὺς καὶ τὰς οἰκίας ἰδίως ἐν τῇ ἐνορίᾳ Πλάτζας, ἥτις ὑπὸ τὴν ἀν. κλιτὺν Βιζύης περιεῖχε τὰ ἐπισημότερα τῶν ἱερῶν καὶ δημοσίων κτιρίων. Ὑπέρ δέ τὴν Πλάτζαν ΒΑ ἔστι γήλοφος Τζομλεκτζῆ (κεραμεικὸς) διὰ τὰ ἐν αὐτῷ ἐργοστάσια κεράμων, ἅτινα ἀπὸ τῶν ἀνασκαφῶν ἐμφανίζονται νῦν καὶ αὐτοὶ

οἱ κλίβανοι, λείψανα δὲ κεραμευτικῆς εἰς συντρίμματα μετρίας τέχνης.

»Ἐκ τῶν καθ' ἡμέραν γιγνομένων ἐνταῦθα ἀνασκαφῶν διὰ γεωργικὰς ἀνάγκας καταφαίνεται, ὅτι ἡ ὑπὸ τὴν Βιζύην πόλις ἔπαθε πολλὰς καταστροφὰς ἐκ τῆς τέφρας διακρινομένης εἰς πολλὰ στρώματα. Ἔν τισι δὲ παρετηρήθη σῖτος κεκαυμένος, τοιαῦτα δὲ οὐδαμῶς παρατηροῦνται ἐν τῇ κυρίως Βιζύῃ· καὶ τοῦτο ἀπόδειξις, ὅτι ἡ Βιζύη δὲν ὑπέστη ἐκπολιόρκησιν ἀπὸ τῶν κατὰ καιρὸν βαρβαρικῶν δῃώσεων.

»Ἐὰν ἐγίνοντο δὲ ἐνταῦθα ἀνασκαφαὶ τακτικαί, πολλὰ θὰ ἀνεκαλύπτοντο λόγου ἄξια ἔργα τέχνης καὶ πολλὰ σημεῖα τῆς ἱστορίας Βιζύης θὰ διελευκαίνοντο· ὑπὸ δὲ τὴν ὡραίαν πεδιάδα καὶ πρὸς τοὺς πέριξ λόφους ὑπάρχουσιν ὑπὲρ τοὺς 30 τύμβοι, ἱκανῶς ὡραΐζοντες τὴν χώραν, τὰ δὲ ἐν τοῖς ὄρεσι μνημεῖα, σπήλαια φυσικὰ ἢ τεχνικά, καὶ αὐτὴ αὕτη ἡ θέσις τῶν Δαμάτων μετὰ τῶν ἀξιοπεριέργων τῆς Βιζύης, ἔσται θέμα ἐρεύνης, ὅπερ ἱκανῶς μὲν ἐπασχολήσει τοὺς φιλαρχαίους, ἐπιχύσει δὲ φῶς ἐπὶ τοῦ βίου τῶν Πελασγοθρακῶν τῶν πρώτων, ὡς εἴρηται, κατοίκων τῆς χώρας καὶ τῶν ἄλλων ἐκ βορρᾶ μεταγενεστέρως εἰσελασάντων ἐκ τῶν ἄνω, καταλαβόντων δὲ τὰ περὶ τὸν Δούναβιν (Σκυθῶν). Ἐν συνόλῳ δὲ ἡ Βιζύη, ἡ διάδοχος τῶν Δαμάτων, ἦν διῃρημένη τριχῶς, εἰς τὴν ἐν τῷ τείχει, τὴν ἀκρόπολιν πρὸς βορ. (ἧς ἡ πύλη καί τινες πύργοι εἰσέτι διατηροῦνται) καὶ τὴν ἐκτὸς αὐτῆς περιλαμβάνουσαν δι' ἰδίου τείχους, ὡς ἐκ τῶν ἐρειπίων αὐτοῦ φαίνεται, τὸν κεραμεικὸν καὶ τὴν Πλάτζαν» (αὐτ. σ. 14—16).(1).

***Μαρία μάρτυς***, μαρτυρήσασα ἐν Ἡρακλείᾳ (βλ. Τεσσαράκοντα μάρτυρες παρθένοι).

***Μαρκιανὸς μάρτυς***, ἐμαρτύρησεν ἐν Ἡρακλείᾳ κατὰ τοὺς πρώτους χριστιαν. χρόνους (βλ. Delehaye, ἔνθ' ἀνωτ. σ. 247). Ἦν Ἀντιοχεὺς ἐκ τῶν πρώτων ἐν Ἡρακλείᾳ μαρτυρησάντων.

***Μάρτυρες ἕξ, οἱ ἐν Βιζύῃ μαρτυρήσαντες*** (βλ. 33, 37, 38 καὶ 40 μάρτυρες).

***Μάρτυρες ἑκατὸν πεντήκοντα τρεῖς*** «οἱ ἐκ τῆς Θράκης ἐν τῇ θαλάσσῃ βληθέντες τελειοῦνται» τῇ κζ' Ἰουλίου. Εἰς τούτους Χρι-

---

1. Ὁ Γιάγκος συνοικίας γράφει 4 : Πλάτζα (ἢ Πλάτσα), Καρσῆ—Μαχαλᾶς (Πέρα), Καλὲ (Κάστρον) καὶ Γιαζῆ (Ἡμερολ. 1886, σ. 92). Ὁ ἀναγνώστης δύναται ἐκ τῶν δύο τούτων πραγματειῶν νὰ σχηματίσῃ ἀρτίαν ὁπωσδήποτε, ἰδέαν περὶ τῆς σπουδαίας ταύτης θρακικῆς πόλεως.

στοφόρος ὁ Μυτιληναῖος ἐποίησε τὸ ἑξῆς ἰαμβικὸν δίστιχον :
«Θαλασσοάθλους ἰσαρίθμους, Χριστέ μου,
ἄγρᾳ θαλάσσης Τιβεριάδος δέχου».

*Μάρτυρες ἕξ, οἱ ἐν Βιζύῃ ἀθλήσαντες τῇ ι΄ Αὐγούστου.* Ἄλλοι πολλαπλάσιοι μάρτυρες ἐκ Βιζύης εἶναι οἱ ἑξῆς 33, 37, 38 καὶ 40 κατὰ διαφόρους καιροὺς ἑορταζόμενοι.

*Μάρτυρες δύο οἱ ἐν Παρίῳ* (πόλει παραλιακῇ μεταξὺ Λαμψάκου καὶ Κυζίκου, ἔναντι δὲ Πανίου κειμένῃ, ἀποικία Παρίων) ἐν λάκκῳ βληθέντες τελειοῦνται τῇ κγ΄ Ἰανουαρίου.

*Ματρώνα μάρτυς,* ἐμαρτύρησεν ἐν Ἡρακλείᾳ (βλ. Τεσσαράκοντα παρθενομάρτυρες).

*Μαύρα μάρτυς,* ἐμαρτύρησεν ἐν Ἡρακλείᾳ (βλ. Τεσσαράκοντα παρθενομάρτυρες).

*Μέμνων* ὁ κεντυρίων μάρτυς (βλ. Σευῆρος.)

*Μιχαὴλ Μαυροειδής,* νεομάρτυς Ἀδριανουπολίτης οὗ ἡ μνήμη ἑορτάζεται τὴν ι΄ Μαρτίου. Οὗτος ὑπηρετῶν ὡς κηπουρὸς εἰς τὸν Χατζῆ Βέην ἦτο τακτικὸς εἰς τὸ καθῆκον, τίμιος ἄνθρωπος καὶ εὐσεβὴς χριαστιανός. ὁ Βέης προκειμένου νὰ μεταβῇ ὡς προσκυνητὴς εἰς Μέκκαν, ἀφῆκεν εἰς τὸ κτῆμα καὶ διὰ τὰς ὑπηρεσίας τοῦ οἴκου τὸν ἔμπιστον Μαυρουδῆν. Ἀλλ' ἡ σύζυγός του ἠβουλήθη νὰ παρασύρῃ τὸν ἅγιον, ὅπως ἡ τοῦ Πετεφρῆ τὸν Ἰωσήφ, εἰς ἐκπλήρωσιν τῆς ἀσελγοῦς ἐπιθυμίας της. Αὐτὸς ὅμως ἀντέταξεν ἄρνησιν καὶ ὑπῆρξεν ἀνένδοτος εἰς τὴν ἐπιμονὴν τῆς μουσουλμανίδος κυρίας του. Τοῦτο ἐξηρέθισε τὴν μανιώδη γυναῖκα καὶ ἀπεφάσισε νὰ ἐξοντώσῃ αὐτόν. Καὶ δὴ καλέσασα τουρκόγυφτον ἀνέθεσεν εἰς αὐτὸν νὰ τὸν δολοφονήσῃ πάραυτα ὑποσχομένη νὰ προσλάβῃ αὐτὸν ἀντικαταστάτην, ὅπερ καὶ ἐγένετο. Ὁ γύφτος δὲν ἐτόλμα νὰ ἀντικρύσῃ τὸν μάρτυρα, ἀλλὰ τὸν ἐθανάτωσε κοιμώμενον καὶ τὸν ἔρριψεν εἰς τὸν δρόμον. Οἱ χριστιανοὶ παραλαβόντες τὸν νεκρὸν ἔθαψαν ἐκτελέσαντες κρυφίως τὰ νόμιμα. Ἀλλ' ἐπανῆλθεν ὁ ἀφέντης του ἀπὸ τὸ χατζηλίκι. Εἰς τὸν σταθμὸν «ἐκ τῶν οἰκείων του οὐδεὶς ἦλθε (πρὸς προϋπάντησιν) καὶ μόνον μακρόθεν εἶδε τὸν Μαυρουδῆν ἐρχόμενον ταχέως καὶ συνοδεύοντα δύο ἄλογα.... Προσφέρει τὸ καλλίτερον ἄλογον εἰς τὸν αὐθέντην του καὶ ἐξεκίνησαν ὁμοῦ βαδίζοντες ταχέως διὰ νὰ φθά-

§ 5 Εἶχε δὲ καὶ πόθον πολὺν ἡ ἁγία νὰ ὑπάγῃ εἰς τὰ Ἱεροσόλυμα διὰ νὰ προσκυνήσῃ τοὺς ἁγίους Τόπους καὶ θερμῶς παρεκάλει τὸν Χριστὸν καὶ τὴν Παναγίαν αὐτοῦ μητέρα νὰ τὴν ἀξιώσουν τοῦ ποθουμένου. Ὅθεν καὶ εἰσηκούσθη ἡ δέησίς της, ἐπειδή, ἀφ' οὗ ἀρκετὰ ἐγυμνάσθη εἰς τὰς ἀρετὰς ἐκεῖ εἰς τὸν ναὸν τῆς Θεοτόκου, ᾠκονόμησεν ὁ Θεὸς καὶ εὑρέθησάν τινες καὶ τὴν ἐπῆραν εἰς τὴν συνοδίαν των καὶ ἐπῆγε κατὰ τὸν πόθον της εἰς τὴν Ἱερουσαλήμ. Προσκυνήσασα δὲ τοὺς ἁγίους Τόπους ἦλθεν εἰς τὴν ἔρημον τοῦ Ἰορδάνου καὶ εὑροῦσα γυναικεῖον μοναστήριον κατῴκησεν εἰς αὐτό. Πόσους δὲ πειρασμοὺς τῆς ἔφερεν ἐκεῖ ὁ διάβολος καὶ μὲ πόσους ἀγῶνας αὐτὴ τὸν ἐπολέμησε καὶ τὸν ἐνίκησε δὲν εἶναι εὔκολον νὰ τὰ γράψωμεν· πλὴν νὰ εἴπωμεν ὀλίγα τινὰ διὰ νὰ φανερώσωμεν ποίου εἴδους ἄσκησιν ἐπέρνα καὶ πῶς ἠγωνίζετο. Τὸ ποτόν της ἦτο ὕδωρ μόνον καὶ τοῦτο δὲν τὸ ἔπινε χορταστικά, ἀλλὰ μὲ πολλὴν ἐγκράτειαν· τὸ στρῶμά της ἦτο μία ψάθα· τὸ ἔνδυμά της ἦτο ἓν καὶ μόνον, καὶ αὐτὸ παλαιὸν καὶ ἐσχισμένον· ὁ ὕμνος πρὸς τὸν Θεὸν καὶ ἡ προσευχὴ ἦσαν ἀκατάπαυστα εἰς τὰ χείλη της· καὶ ἐπάνω εἰς ὅλα τὰ καλὰ ἔλαμπε πάντοτε ἡ πρὸς πάντας ἀγάπη καὶ ἡ κορυφὴ τῶν ἀρετῶν της ἦτο ἡ μετριοφροσύνη καὶ ἡ ταπείνωσις.

§ 6. Ἀφ' οὗ δὲ ἐπέρασεν εἰς αὐτὸ τὸ γυναικεῖον μοναστήριον πολλοὺς χρόνους ἀγωνιζομένη μὲ πολλὰς ἀρετάς, ἐξῆλθεν ἀπὸ ἐκεῖ, οὖσα τότε εἰκοσιπέντε ἐτῶν τὴν ἡλικίαν καὶ ἐπῆγεν εἰς τὴν Ἰόππην. Ἐκεῖθεν ἐπιβιβασθεῖσα πλοίου διὰ νὰ ἔλθῃ εἰς τὴν πατρίδα της, πλὴν δὲν ἔμεινεν ἕως τέλους ἐκεῖ, ἀλλ' ἐπῆγεν εἰς τὴν Κωνσταντινούπολιν. Ἀφ' οὗ δὲ προσεκύνησεν ἐκεῖ πολλοὺς ἁγίους ναοὺς καὶ μὲ πολλοὺς ἁγίους ἄνδρας ὠφελείας χάριν συνανεστράφη καὶ συνωμίλησεν, ἔφυγε καὶ ἀπὸ ἐκεῖ καὶ ἐπῆνεν εἰς τὴν χώραν, ἥτις λέγεται Καλλικράτεια καὶ κατῴκησεν εἰς τὸν ναὸν τῶν ἁγίων Ἀποστόλων. Ἀγωνιζομένη δὲ ἐκεῖ τοὺς συνειθισμένους της ἀγῶνας ἐπέρασε δύο ἔτη. Καὶ τότε φθάσασα εἰς τὴν τελειότητα τῆς ἀρετῆς καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἐπλήρωσε καὶ ἐτελείωσεν ὁσίως τὸν δρόμον τῆς προσκαίρου ταύτης ζωῆς καὶ ἀπῆλθεν ἐν εἰρήνῃ εἰς τὴν αἰώνιον καὶ κατεσκήνωσεν εἰς τὰς οὐρανίους σκηνάς, ἔνθα πάντων ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία· τὸ δὲ πάντιμον αὐτῆς καὶ ἅγιον λείψανον ἐνεταφιάσθη ἐντίμως καὶ ἔμεινε χρόνους πολλοὺς κεκρυμμένον μέσα εἰς τὴν γῆν, ἕως ὅτου ἡ ἁγία ἠθέλησε καὶ ἐφανέρωσε τοῦτο δι' ὀπτασίας μὲ τὸν ἀκόλουθον τρόπον.

§ 7. Ἄνθρωπός τις φαυλόβιος καὶ ἁμαρτωλὸς ἀπέθανε καὶ τὸν ἐνεταφίασαν πλησίον εἰς τὸ μνῆμα τῆς ὁσίας. Λοιπὸν δὲν ἐδέχθη ἡ ἁγία νὰ εἶναι πλησίον εἰς τὸ ἅγιόν της λείψανον τοῦ ἁμαρτωλοῦ ἀνθρώπου τὸ μιαρὸν σῶμα· ὅθεν τί ἀκολουθεῖ; Φαίνεται ἐν ὁράματι ἡ καθαρωτάτη καὶ ἄμωμος νύμφη τοῦ Χριστοῦ Παρασκευὴ εἰς ἕνα ἐνάρετον ἀσκητὴν καὶ ἄξιον διὰ νὰ βλέπῃ ὀπτασίας καὶ ἀποκαλύψεις καὶ τοῦ λέγει τὰ ἀκόλουθα: «τὰς ὀζούσας σάρκας ἆρον καὶ πόρρω ἀποσκοράκισον ἀπ' ἐμοῦ· ἥλιος γὰρ οὖσα καὶ φῶς οὐ δύναμαι σκότους καὶ δυσωδίας ἀνέχεσθαι»· ἤτοι σήκωσε τὰς βρωμισμένας σάρκας καὶ ρίψε αὐτὰς μακρὰν ἀπ' ἐμοῦ, διότι ἐγὼ εἶμαι ἥλιος καὶ φῶς καὶ δὲν δύναμαι νὰ ὑποφέρω νὰ ἔχω πλησίον μου σκότος καὶ δυσωδίαν. Ἐπειδὴ δὲ ὁ ἄνθρωπος δὲν εἶχε πληροφορίαν, ὅτι εἶναι θεϊκὸν τὸ ὅραμα, ἀλλὰ εἶχεν ἀμφιβολίαν, μήπως εἶναι ἁπλῶς ὄνειρον, διὰ τοῦτο ἠργοπόρει νὰ τελειώσῃ τὸ πρόσταγμα· διὰ τοῦτο φαίνεται ἡ ἁγία καὶ δευτέραν φορὰν καὶ τοῦ λέγει τὰ ἴδια· ἀλλ' ἐπειδὴ ὁ ἀσκητὴς δὲν ἠδύνατο νὰ καταλάβῃ ποία ἦτο ἡ φαινομένη καὶ τί ἠννόει μὲ ἐκεῖνα ποὺ τοῦ ἔλεγε, φαίνεται καὶ τρίτην φορὰν καὶ μὲ φοβερισμοὺς μεγάλους τὸν προστάσσει νὰ βάλῃ εἰς ἔργον ἐκεῖνο ποὺ τοῦ ἔλεγε, λέγουσα τὸ ὄνομά της, ποία εἶναι καὶ δεικνύουσα μὲ τὸν δάκτυλόν της τὸν τόπον τοῦ μνήματος.

§ 8. Ὁ δὲ ἡσυχαστὴς ἐκεῖνος ἐξύπνησε παρευθὺς καὶ σπουδαίως δραμὼν ἐφανέρωσε τὴν ἀποκάλυψιν εἰς τὸν λαὸν τῆς πόλεως ἐκείνης καὶ τοῦτο ἀκούσαντες ἐκεῖνοι συνέδραμον ὅλοι κοινῶς εἰς τὸν τόπον τοῦ μνήματος, ὡσὰν νὰ ἔμελλον νὰ ἀνοίξουν κανένα μεγάλον θησαυρὸν καὶ σκάπτοντες τὴν γῆν, ὅταν ἐπλησίασαν εἰς τὸ ἅγιον λείψανον, ἐξῆλθε πολλὴ καὶ θαυμαστὴ εὐωδία· εὑρόντες δὲ αὐτό, ἐθαύμασαν καὶ ἐξεπλάγησαν, ὅτι ὕστερον ἀπὸ τόσους χρόνους ποὺ ἦτο σκεπασμένη μέσα εἰς τὴν γῆν, εὑρέθη σῶον καὶ ἀκέραιον καὶ παντελῶς ἀδιάφθορον. Λοιπὸν ἀνακομίσαντες αὐτὸ μετ' εὐλαβείας, τὸ ἔφεραν μετὰ ψαλμῳδιῶν καὶ θυμιαμάτων καὶ τὸ ἀπέθηκαν ἐντίμως εἰς νὸν ναὸν τῶν ἁγίων Ἀποστόλων[1]. Πόσα δὲ θαύ-

1. «Τὸ ἱερὸν τοῦτο λείψανον τῆς ὁσίας Παρασκευῆς δὲν ἠξεύρω τίνι τρόπῳ μετεκομίσθη ἀπὸ Καλλικρατείας εἰς τὸ Βελιγράδιον καὶ εὑρίσκετο ἐκεῖ ἕως εἰς τὸ 1500, ὅτε ἐκυριεύθη ὑπὸ τῶν Τούρκων καὶ τότε μετεκομίσθη πάλιν (καθὼς λέγει ὁ Μελέτιος Ἀθηνῶν εἰς τὸν γ' τόμον τῆς Ἐκκλησιαστικῆς του ἱστορίας εἰς φύλλον 450) εἰς τὴν Κωνσταντινούπολιν καὶ εὑρίσκετο τιμώμενον εἰς τὸ πατριαρχεῖον ἕως εἰς τὸ 1638. Καὶ τότε πατριαρχεύσας ὁ ἀπὸ Ἀδριανουπόλεως Παρθένιος ὁ ἐπονομαζόμενος Γέρων, ἔλαβε χρήματα πολλὰ (καθὼς λέγουσιν) ἀπὸ τὸν Βασίλειον τὸν ἡγεμόνα τῆς Μολδοβλα-

ματα ἐτέλεσεν ὁ τῶν θαυμασίων Θεός, τότε ποὺ ἐφανερώθη τὸ ἅγιον λείψανον καὶ τελεῖ ἀκόμη ἕως τῆς σήμερον, εἶναι ἀδύνατον νὰ τὰ γράψωμεν διὰ τὸ πλῆθος· διότι καὶ χωλοὺς καὶ ἀναπήρους καὶ παραλυτικοὺς καὶ κάθε εἴδους ἀσθενείας καὶ κάθε πάθος θανατηφόρον ἐθεράπευσε καὶ θεραπεύει καὶ μόνη ἡ ἀφὴ τῆς ἁγίας λάρνακος ἀποδιώκει κάθε νόσημα καὶ ἀφθόνως ὡς πηγὴ ἀνεξάντλητος προχέει καὶ πλημμυρεῖ τὰ ἰάματα εἰς τοὺς μετὰ πίστεως προσερχομένους, χάριτι τοῦ αὐτὴν μεγαλύναντος καὶ ἀντιδοξάσαντος Ἰησοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν (1).

***Παῦλος*** βλ. Λουκελλιανός.

***Παῦλα*** ἐμαρτύρησεν ἐν Ἡρακλείᾳ (βλ. τεσσαράκοντα παρθενομάρτυρες).

***Πέτρος*** ὅσιος, ὁ ἐν τῷ Ἀθύρᾳ ἐν εἰρήνῃ τελειοῦται τῇ ε΄ Σεπτεμβρίου.

Πολλὰ χρεὼν σε τὸν μέγαν Πέτρον,
ὡς πολλὰ τιμήσαντα Χριστὸν δεσπότην.

Νομίζω, ὅτι κακῶς ἐν τῷ Συναξαριστῇ γράφεται ἀπόστολος ὁ *Πέτρος*.

***Πολύευκτος*** (βλ. μάρτυρες Ἡρακλείας).

***Πολυνίκη,*** ἐμαρτύρησεν ἐν Ἡρακλείᾳ (βλ. τεσσαράκοντα παρθενομάρτυρες).

---

χίας, διὰ νὰ πληρώσῃ τὰ πολλὰ χρέη τοῦ πατριαρχείου καὶ ἔδωσε κρυφίως τῷ ἡγεμόνι τὸ λείψανον, τὸ ὁποῖον κατετέθη καὶ εὑρίσκεται ἕως τῆς σήμερον εἰς τὴν ἐν Ἰασίῳ μονὴν τῶν Τριῶν Ἱεραρχῶν καὶ ἐπιτελεῖ πλεῖστα θαύματα, ὅθεν καὶ συντρέχει εἰς τὴν μνήμην τῆς ἁγίας (ἥτις τελεῖται τῇ 14η Ὀκτωβρίου) ὅλη σχεδὸν ἡ Μολδοβλαχία, ἡ Οὐγγροβλαχία καὶ ἡ Βουλγαρία».

1. «Ἡ ᾀσματικὴ ἀκολουθία τῆς ἁγίας ταύτης εὑρίσκεται τετυπωμένη ἐν πολλαῖς Ἀνθολογίαις καὶ ἐν ἰδιαιτέρᾳ φυλλάδι, *τὴν ὁποίαν συνέγραψεν Μελέτιος ὁ Συρῖγος, ὡς ἐν αὐτῇ σημειοῦται.* Τὸ δὲ Συναξάριον αὐτῆς συνέγραψε καὶ τὸν βίον τοῦ ὁσίου Ἰωάννου τοῦ κτίτορος τῆς μονῆς Ρίλας, ὡς τοῦτο ἀναφέρεται ἐν τῷ Σλαβωνικῷ Συναξαριστῇ, καθὼς καὶ εἰς τὸ Νέον Λειμωνάριον». Ἀλλὰ πλανᾶται ὁ Νικόδημος ταῦτα σημειούμενος καὶ τοῦτο διότι δὲν παρέβαλε τοὺς δύο βίους, καὶ τότε θὰ ἔβλεπε, ὅτι ὁ μὲν εἶναι τελείως διάφορος τοῦ ἑτέρου, ἤτοι ὁ τοῦ ἑλλην. συναξαρίου ἀπὸ τὸν τοῦ σλαβαινικοῦ μεταφρασθέντος ὑπὸ τοῦ Ματθαίου Μυρέων.

***Προκοπία***, ἐμαρτύρησεν ἐν Ἡρακλείᾳ (βλ. τεσσαράκοντα παρθενομάρτυρες).

***Πρίγκηψ*** μάρτυς (βλ. Ἀγαθόνικος).

***Σαβὲλ*** μάρτυς (βλ. Μανουήλ).

***Σαβῖνος***, ἐμαρτύρησεν ἐν Ἡρακλείᾳ τῇ κθ΄ Σεπτεμβρίου. Δὲν γνωρίζω ἐὰν δύναται νὰ ταυτισθῇ οὗτος πρὸς τὸν ἑορταζόμενον τῇ κε΄ Σεπτεμβρίου.

### *Ἀντὶ προλόγου εἰς τὸ βίον τῆς ἁγίας Σεβαστιανῆς*[1]

Ὑπόμνησις περὶ τοῦ κειμένου

«Acta Sanctorum... Editio novissima curante J. Carnandet.

Junii tomus secundus... cum tractatu praeliminari Nicolas Rayaer...

Parisiis et Romae apud V. Palmé» 1867.

Ὁ βίος τῆς ὁσίας Σεβαστιανῆς δὲν περιλαμβάνεται ἐνταῦθα, ἀλλ᾽ ἐν τῷ παραρτήματι ἐκδιδομένῳ μετ᾽ ἰδίας σελιδώσεως.

«Appendix addendorum et mutandorum ad acta sanctorum mensis Junii, tomo II, die VII:

«De S. Sebastiana virgine martyre Heracleae in Thracia comentarius braevius acta martyrii graeco - latina auctore anonymo ex cod. sancti Salvatoris ordinis S. Basillii prope Messenam. S. Sebastiana capta sub Domitiano imperatore plumbatis caeditur.» (σ. 4—13).

Ἐν τῷ 58 (10 Ὀκτωβρίου) τόμῳ τῆς αὐτῆς ἐκδόσεως 1869, σ. 576 περὶ τοῦ βίου τῆς Σεβαστιανῆς καὶ τοῦ νέου ἐκδότου «novum plane laborem in se surcepit Janningus et in Supplemento ad mensem Junium comentarium praevium (sic) dedit et textum graecum Qua proprer amandamun lectorem ad ea quae scripsere decessores nostri in opere nostro in serie dierum tum in supplemento ad VII Junii».

Παρ᾽ ὅλα τὰ σοφὰ καὶ λεπτομερῆ ὑπομνήματα, ἅπερ δυστυχῶς δὲν ἐλήφθησαν ὅλα ὑπ᾽ ὄψιν ὑπὸ τοῦ νέου ἐκδότου, οἱ τυπογράφοι κατέστρεψαν τὸ κείμενον (καθῆλθον, καθάλυμα, συμβουλεύθας, μεθὰ ἑπτὰ ἡμέρας κττ.) ἡ δὲ πλησμονὴ τῶν ἀνορθογραφιῶν εἶναι ἀπερίγραφος. Ταύτας, πλὴν τῶν σπουδαιοτέρων, δὲν ἐδηλώσαμεν. Ὅθεν δυνάμεθα νὰ εἴπωμεν, ὅτι τὸ κείμενον ἐξῆλθεν ἐκ τῶν χειρῶν ἡμῶν νέον καὶ πεπλουτισμένον διὰ τῶν ἀναγκαίων σημειώσεων.

---

1. Βλ. βραχέ᾽ ἅττα ἐν σ. 66—67.

### *Μαρτύριον τῆς ἐνδόξου ὁσιομάρτυρος Σεβαστιανῆς τῆς ἐν Ἡρακλείᾳ μὲν μαρτυρησάσης ἔτους 93 μετὰ Χριστόν, ἐν Ραιδεστῷ δὲ θαυματουργούσης.*

§ 1. Ἔτους τρίτου καὶ εἰκοστοῦ τοῦ καθ' ἡμᾶς διωγμοῦ (¹) ἔσχεν ὁ διάβολος χώραν καὶ προσλαβὼν τὸ βέλος τῆς ἁμαρτίας, πολλοὺς ἐπολέμει, ὡς πλῆθος πολὺ ἀποπλανηθῆναι. Ἐξεπέμφθησαν γὰρ ἄρχοντες ἄνομοι καὶ κριταὶ ἀδικίας, ὥστε ἐπιθύειν βδελύγμασι [πάντας ἀναγκάσωσιν.] Πολλὴ οὖν θλῖψις καὶ ἀνάγκη ἦν ἐπὶ τοὺς ἁγίους διὰ τὴν τῶν ἀπολλυμένων σύνδεσιν. Ὡς οὖν ἐξεπέμποντο τὰ διατάγματα σὺν τοῖς ἄρχουσι τοῦ βασιλέως, κατήντησέ τις ἄρχων ἐν τῇ Μαρκιανοῦ πόλει, ὀνόματι Σέργιος Ἰοῦστος, λιμὸς τοὺς τρόπους καὶ πάσῃ κακίᾳ ἠμφιεσμένος (²).

§ 2. Εἰσελθὼν δὲ ἐν τῇ Μαρκιανοῦ πόλει ὡς λέων ἄγριος ἐβρύχετο ἔχων τὸ ἔνδυμα τοῦ διαβόλου. Τῇ πρώτῃ ἡμέρᾳ ἐζήτησεν ἱερεῖς τῆς Ἀρτέμιδος καὶ εὑρὼν τρεῖς, Σωσίπατρον καὶ Φιλητὸν καὶ Δημήτριον, εἶπεν αὐτοῖς. Οἴδατε τὸ πρόσταγμα Δομιτιανοῦ τοῦ βασιλέως, πῶς κελεύει θύειν τοῖς θεοῖς καὶ διαμένειν εὐμενῶς, τιμὰς δὲ λαμβάνει οὐ μικρὰς τοὺς μὴ πειθομένους (³) καὶ δειναῖς κολάσεσιν καὶ τιμωρίαις ὑποβάλλεσθαι, μάλιστα τοὺς Γαλιλαίους τοὺς καλουμένους Χριστιανούς. Ἐπελθόντες οὖν τὸ πρῶτον ἐπὶ τὸν τόπον τῆς πόλεως, καὶ ὁμοίως ᾄσαντες (⁴) τῇ δευτέρᾳ ἡμέρᾳ κατῆλθον ἐπὶ τὸ κατάλυμα τοῦ ναοῦ τῆς Ἀρτέμιδος ἐπαγαγόντες λίβανον καὶ ἐπιθύσαντες τῷ εἰδώλῳ τὴν ἄνομον θυσίαν ἐκόμιζον. Μετὰ οὖν τὸ ἐπιτελέσαι τὴν θυσίαν τῶν δαιμόνων εἰσῆλθεν ὁ ἄρχων ἐν τῇ πόλει καὶ τῇ τρίτῃ ἐπιθύει τῇ Ἑκάτῃ Χορτασθεὶς δὲ τῶν δαιμονικῶν θυσιῶν μετὰ ἑπτὰ ἡμέρας τῶν μαθητῶν τοῦ Χριστοῦ κρυπτομένων προκαθήσας ὁ ἄρχων τῆς ἀδικίας ἐν τῇ ἀγορᾷ καὶ καλέσας πάντας τοὺς συμβου-

---

1. Ὁ κατὰ τῶν χριστιανῶν διωγμὸς ἀρξάμενος ἀπὸ τοῦ Νέρωνος ἠρίθμει ἐπὶ Δομιτιανοῦ, ὅτε ἐμαρτύρησεν ἡ ἁγία, τὸ 23 ἔτος. Ὁ Νέρων ἐβασίλευσε 54—68, ὁ δὲ Δομιτιανὸς 81—96. Τὸ 23 ἔτος συμπίπτει εἰς τὸ 91 τῆς βασιλείας τοῦ τελευταίου. Κακῶς δὲ δέχεται ὁ πρῶτος ἐκδότης τοῦδε τοῦ βίου τὸ 93, θεωρῶν ὡς ἀρχὴν τοῦ διωγμοῦ τὸ 70, ὅτε ὅμως εἶχεν ἀποβιώσει ὁ Νέρων.

2. Μαρκιανούπολις παρὰ τὸν Εὔξεινον καὶ ἐγγὺς (18 μίλ.) Βάρνης, ὅπου τὸ χωρίον Ποταμὸς Δέβνα. Κατεστράφη ἔπειτα ὑπὸ τοῦ Ἀσπαρούχ τῷ 672.

3. τιμὰς δὲ λαμβάνειν, γράφ. ποινάς, ὡς μαρτυρεῖ καὶ ἡ λατινικὴ μετάφρασις cruciari vero poenis multis..,

4 ᾄσαντες. ἦσαν ἀόρ. τοῦ ᾄδειν, ἤτοι ἡδέως ἀκούσαντες καὶ εὐφράνθησαν ἐπὶ τῇ ἀναγνώσει.

λευτὰς αὐτοῦ ἐκέλευσεν ἀναγνωσθῆναι τὰ διατάγματα τοῦ βασιλέως.

§ 3. «Δομιτιανός, κράτιστος Σεβαστός, δήμοις πόλεων καὶ χωρῶν τοῖς πρὸς ἡμᾶς εὐνοϊκῶς ἔχουσιν σπουδὴν πᾶσαν δείξασθαι τοῖς εὐμενέσι θεοῖς προθύμως ἐξακολουθῆσαι. Ἐὰν γὰρ εὐγνωμονῆτε πρὸς τὰ διατάγματα ἡμῶν τὰς τῶν βασάνων τιμωρίας οὐκ ὑποδέξεσθε. Τούτων δὲ οὕτως διατεταγμένων ἀσεβῶς ἐζητοῦντο οἱ τοῦ Χριστοῦ κληρονόμοι καὶ τῶν ἀποστόλων σύγκληροι. Φήμης οὖν διαδοθείσης οὐ μικρᾶς καὶ διατρεχόντων τῶν ἀσεβῶν προσταγμάτων ἐμηνύθη καὶ τὰ κατὰ τὴν ἁγίαν Σεβαστιανὴν καὶ τὴν αὐτῆς πολιτείαν. Ἦν δὲ ***διακόνισσα***(1) ***καὶ ἡγουμένη*** ἔνδοξος καὶ πιστὴ οἰκονόμος τοῦ Χριστοῦ, ἀσκητικὰς ἀμνάδας τοῦ Χριστοῦ ἀνατρέφουσα. Ὡς οὖν ἡ ζήτησις ἐγένετο, συνελήφθη ἡ ἁγία Σεβαστιανὴ ὑπὸ Ἀντωνίου τινὸς εἰρουνάρχου(2) καὶ προσῆλθεν τῷ ἡγεμόνι, ὡς ἀμνὰς ἐπίσημος ἐκ ποίμνης νοερᾶς καὶ ἔλαμπε τὸ πρόσωπον τῆς ἁγίας ὡς λαμπὰς ἡλίου, ὅταν ἀνατέλλῃ. Τοῦ δὲ κήρυκος ἐπιβοοῦντος (sic) καὶ σαλπίγγων ἐπιφωνουσῶν καὶ λεγόντων(3) εἰσαχθήτωσαν οἱ τοῦ ἐσταυρωμένου κληρονόμοι, εἰσελθέτωσαν οἱ τοῦ Ναζωραίου στρατιῶται. Φόβος οὖν οὐ μικρὸς ἦν καὶ τάραχος οὐκ ὀλίγος, βοή τε καὶ βομβή.(4)

§ 4. Τότε ὁ Ἀντώνιος εἰσήγαγεν τὴν τοῦ Χριστοῦ δούλην. Ὡς οὖν εἶδεν ὁ ἡγεμὼν τὴν ἁγίαν ὡραίαν τῷ κάλλει καὶ τῇ ὄψει στίλβουσαν, ἐξεπλάγη ὁ τύραννος ἐπὶ τῷ κάλλει αὐτῆς, ὡς μετὰ πολλῆς ἀπονοίας τολμᾷν ἐπερωτᾷν τὴν ἁγίαν.

Ὁ Σέργιος ὁ ἡγεμὼν εἶπεν Τί τὸ ὄνομα τῆς ἑστώσης; Σεβαστιανή, εἶπεν, Χριστιανὴ καὶ τῆς τοῦ Χριστοῦ ποίμνης διάκονος,

---

1. διακόνισσα. Ἐν σ. 171 εἴδομεν, ὅτι Παῦλος ὁ Μυλάσσων ἐπίσκοπος ἐχειροτόνησε τὴν ἡγουμένην Ξένην διάκονον δοὺς τὸν «ἱερατικὸν βαθμόν». Ὁ θεσμὸς εἶναι ἀρχαῖος τῶν ἀποστολ. χρόνων. Ὁ ΙΘ' κανὼν τῆς Α' Οἰκ. συνόδου ἐπικυροῖ τοῦτο. (βλ. τὴν σημείωσιν ἐν τῷ Πηδαλίῳ σ. 83, ἔκδ. 1841). Ἡ 6 Νεαρὰ Ἰουστινιανοῦ ὁρίζει «πῶς δεῖ χειροτονεῖσθαι τοὺς ἐπισκόπους..... καὶ διακόνους ἄρρενας καὶ θηλείας» (ἔκδ. Μάτεσι, σ. 23). Μονογραφίαι ἐγράφησαν 5—6 μνημονεύω τὴν παλαιοτέραν τοῦ Ziegler. De diaconis et diaconissis veteris ecclesiae. Vitebergae, 4ον. σ. XXX, 266. Περὶ τῆς συγχρόνου ἀναβιώσεως βλ. Ε. Θεοδώρου ἐν «Ἐνορίᾳ» Α', σ. 179, 192.

2. εἰρουνάρχου, γρ. εἰρηνάρχου, Παρὰ Ῥωμαίοις ἀρχοντικὸν ἀξίωμα ὅμοιον περίπου τῷ τοῦ εἰρηνοδίκου (βλ. Meursius. σ. 147).

3. λεγόντων, γρ. λεγουσῶν.

4. βομβὴ κατὰ συνεκδρομὴν πρὸς τὸ βοή, ἀντὶ βόμβος.

Σέργιος ἡγεμὼν εἶπεν, οὐ περὶ τοῦ ἀξιώματος, ὃ σὺ δοκεῖς ἔχειν, ἐπερωτῶ σε, ἀλλὰ περὶ τοῦ ὀνόματός σου. Τίς καλῇ; Λέγε οὖν τὸ ἀληθὲς πρὸ τοῦ βασανισθῆσαι. Σεβαστιανὴ εἶπεν. Πτοεῖς με ὡς δειλὴν καὶ ἀνίσχυρον; Γίνωσκε ἐν τοῖς πρώτοις τὴν ἀπόκρισίν μου ἀληθεύουσαν, ὅτι Χριστιανὴ εἰμί. Ὅμως ἵνα μὴ περὶ τοῦ ὀνόματός μου ἄπρακτος μένῃς, Σεβαστιανὴ καλοῦμαι παρὰ τῶν ἁγίων ἀποστόλων Χριστιανὴ ἐκλήθην. ***Ὁ γὰρ ἔνδοξος πάντων τῶν ἀποστόλων ἅγιος Παῦλος ἐλθὼν ἐν κλίμασι τῆς Θρᾴκης, ἐβάπτισέ με κατηχήσας μὲ τὸν λόγον τοῦ Χριστοῦ.*** Λοιπὸν ὃ βούλει ποιεῖν, ποίησον, ὠμότατε πάντων ἀνθρώπων καὶ ἀσεβέστατε. Ὁ ἐμὸς Θεὸς ἄτονόν σε ποιήσει, ὅτι τὴν τοῦ Χριστοῦ ποίμνην τολμᾷς λυμαίνεσθαι, τύραννε μιαρώτατε. Ταύτην τὴν ἀσεβεστάτην ἱερουργίαν ὁ ἱερόσυλος ἐξέπεμψέ σοι βασιλεύς. ἀλλὰ πιστεύω τῷ Χριστῷ μου, ὅτι κἀκεῖνον νευρολύσει καὶ σε ἄτονον ποιήσει.

§ 5. Σέργιος ἡγεμὼν εἶπεν· ὑβρίζεις· μεγάλως τιμωρηθήσῃ. Σεβαστιανὴ εἶπεν· πρόθες τὰ παράνομά σου βασανιστήρια ἤδη τάχιον. Ἐγὼ γάρ σπεύδω θυσίαν ἐμαυτὴν τῷ Χριστῷ προσαγαγεῖν καὶ ζῆν εἰς τοὺς αἰῶνας. Σέργιος εἶπεν ἐλθέτωσαν δήμιοι καὶ τυπτέτωσαν αὐτὴν ἐν σφαίραις μολυβδίναις,[1] ἵνα οὕτως οἱ πόνοι αὐτὴν [ἀναγκάζωσι πείθεσθαι] τοῖς θεοῖς. Ὡς δὲ ἐτύπτετο ἡ ὁσία Σεβαστιανή, οὐδεμίαν ἀνεφῆκε[2] φωνήν· εὐωδίαν δὲ μεγίστην ἐνέπνευσεν ὡς καὶ τὸν ἡγεμόνα κελεῦσαι τοῦ παύσασθαι τοὺς βασανιστάς. Καὶ ἦν ἡ ὁσία ὡς μηδὲ ὅλως βασανισθεῖσα, ἀλλ' ἦν θεωροῦσα εἰς τὸν οὐρανόν. Σέργιος ἡγεμὼν εἶπεν· ᾔσθου τῶν βασάνων, Σεβαστιανή,[3] ἢ οὐδέπω; Σεβαστιανὴ εἶπεν, ποίων βασάνων; Ὁ ἀνθύπατος εἶπεν. Θαυμάζω, πῶς λέγεις ποίων βασάνων; μειζοτέραις ὑποβληθήσῃ τιμωρίαις. Σεβαστιανὴ εἶπεν. Ἐὰν πῦρ ἔχῃς, δεῖξον, εἰ καὶ ξῖφος, προβαλοῦ. Θῆρας σφοδρούς; προσάγαγε· οὐδὲν γάρ μου τῶν σῶν ἀπειλῶν πείσει τὸν νοῦν ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος καὶ κραταιοῦ καὶ προσέχειν βδελύγμασιν ἀκαθάρτοις, ὧν τὸ τέλος ἀφανισμὸς καὶ θάνατος τοῖς σεβομένοις αὐτά.

---

1. σφαίραις μολυβδίναις κοινῶς ἐλέγοντο πλουμβάτα αἱ ἐκ μολύβδου σφαῖραι.

2. ἀνεφῆκε, ἴσως ἐπαφῆκε πρβλ. Εὐσ. Ἐκκλ. ἱστορ. IV, 15, 27, «ἵνα ἐπαφῇ τῷ Πολυκάρπῳ λέγοντα». σ. 159 (Dindorf).

3. Βαστιανὴ ἔχει τὸ κείμενον. Ὁ ἐκδότης θεωρεῖ τὸν τύπον δημώδη ἢ περιφρονητικόν, ἀλλ' εἶναι ἐφθαρμένος μᾶλλον.

§ 6. Σέργιος ἡγεμὼν εἶπεν. ἄκουσόν μου καὶ θύσον καὶ σώζου. Σεβαστιανὴ εἶπεν, φλυαρεῖν μεμάθηκας, ἡγεμών. συμβουλεύω δέ σοι ἀποστῆναι ἀπὸ τῶν δαιμόνων τῶν μιαρῶν καὶ ἀκαθάρτων, ἵνα μὴ εἰς πῦρ καὶ σκώληκας καταπονηθῇς. Σέργιος ἡγεμὼν εἶπεν, τέως πειρασθήσῃ τοῦ ὧδε πυρός. καὶ ἐκέλευσεν αὐτὴν ἀναληφθῆναι ἐν τῷ δεσμωτηρίῳ λέγων, νουθέτησον ἑαυτὴν καὶ θύσον τοῖς θεοῖς˙ εἰ δὲ μή γε, πυρί σε ποιήσω δαπανηθῆναι. ἡ ἁγία Σεβαστιανὴ εἶπεν, υἱὲ τοῦ διαβόλου ποίει τὰς ἐπινοίας τοῦ πατρός σου τοῦ σατανᾶ˙ ἦλθεν γάρ ὁ καιρός, ἵνα ἐκεῖνος μὲν γένηται κατάλυμα, οἱ δὲ πειθόμενοι αὐτῷ εἰς ἀπώλειαν ἔσονται εἰς τὸν αἰῶνα. Ὡς δὲ εἰσῆλθεν ἡ μακαρία εἰς τὸ δεσμωτήριον ἐδόξαζε τὸν Θεόν, λέγουσα: Εὐχαριστῶ σοι, Κυριέ μου, Ἰησοῦ Χριστέ, ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου καὶ συνῆψάς με μετὰ τῶν ἁγίων σου. Εὐχαριστῶ σοι, Κύριε Ἰησοῦ Χριστέ, ὅτι νῦν πλουτῶ, εἴτε κόσμον[1] οὐκ ἔχω. Εὐχαριστῶ σοι, Κύριέ μου, ὅτι νῦν ἀπαλλάττεις με μεριμνῶν. Νῦν οὖν, παρακαλῶ σε Δέσποτα, φύλαξον τὸ ἐμοὶ δεδομένον μυστήριον διὰ τοῦ μεγάλου σου ἀποστόλου, ἵνα καταξιωθῶ δι' αὐτοῦ τὸν τόπον (sic) τῆς ἀναπαύσεως. Ὡς δὲ ηὔξατο ἡ ἁγία ἐν φυλακῇ οὖσα, ἐφάνη αὐτῇ ὁ ἅγιος Παῦλος λέγων αὐτῇ: φάγε καὶ πίε καὶ μὴ πτοηθῇς˙ δεῖ γάρ σε ἐν τῇ σῇ πόλει δέσμιον ἀπελθεῖν καὶ ἐξῆλθεν εἰπὼν αὐτῇ, εἰρήνη σοι.

§ 7. Ἐγένετο δὲ μετὰ ἡμέρας ἕξ, συμβούλιον ἐποίησεν ὁ κακόσχολος Σέργιος εἰς μέσον τῆς ἀγορᾶς καῦσαι τὴν ἁγίαν δημοσίᾳ διὰ τὸν τῶν λοιπῶν φόβον. Τῇ δὲ ἑβδόμῃ ἡμέρᾳ ἐξῆλθεν ἡ ἁγία ἀπὸ δεσμωτηρίου, ὡς ἀπὸ λουτροῦ λαμπρὰ τῇ ὄψει, ὡραία σφόδρα, τὸ σῶμα ὅλον δεδοξασμένη. Ὡς οὖν πάλιν προσηνέχθη εἰς τὴν ἀγοράν, προκαθήσας ὁ τύραννος ἤρξατο ἐπερωτᾷν αὐτὴν πολλοῖς λόγοις λέγων: μετανόησον ἀπὸ τῆς ἀπονοίας σου καὶ θύσον τοῖς θεοῖς. Σεβαστιανὴ εἶπεν, ποῖος οὖν τῶν θεῶν σου μείζων ἐστίν; ὁ ἡγεμὼν εἶπεν ἐν μὲν τῇ ἰσχύϊ ὁ Ἡρακλῆς˙ ἐν δὲ φροντίδι Ἥρα ἡ δέσποινα <ἐκάλει> καὶ ἐν τῇ σεμνότητι ἡ ἁγνὴ Ἄρτεμις. Σεβαστιανὴ εἶπεν, οἱ δὲ μικροὶ ποῖοί εἰσιν; Σέργιος ἡγεμὼν εἶπεν, θεοὶ πολλοί, θεαὶ πολλαί, Ἀπόλλων, Τάνταλος, Φοῖνιξ καὶ λοιποὶ πάντες. Ἡ ὁσία Σεβαστιανὴ εἶπεν˙ θαυμάζω ἡγεμὼν πῶς ἐμπαίζεσθε. Ὁ μέγας Ἡρακλῆς, ὃν λέγετε θεόν, ἡμίκαυστος γενόμενος ἐν Θή-

1. εἴτε κόσμον, γρ. εἰ καὶ κόσμον· κόσμος στολισμός, κοινῶς στολισίδι.

βαις ἀπέθανεν.(1) Ἀπόλλων δὲ ἐκεραυνώθη ἐν τῇ Θράκῃ.(2) Ἀσκληπιὸς δὲ πρηνὴς γενόμενος ἐλάκησεν μέσος· καὶ ἄλλοι πολλοὶ θεοὶ εἰς ἀτιμίαν κεῖνται παρ' ὑμῖν· ὅθεν μηδὲν ὄντες εἰς οὐδὲν φέρουσι τοὺς προσέχοντας αὐτοῖς, ἔχοντος ἐν ὀργῇ τοῦ ἐμοῦ Θεοῦ καὶ αὐτούς. Οὐδὲν γάρ εἰσιν τὰ βδελύγματα ὑμῶν, οὔτε ὑμεῖς οἱ σεβόμενοι αὐτά. Ἀνόητοι γάρ ἐστε καὶ τεθνήξεσθε εἰς τὸν αἰῶνα.

§ 8. Σέργιος ἡγεμὼν εἶπεν. οὐ πείθῃ τοῦ θῦσαι τοῖς ἀξιολόγοις θεοῖς; Σεβαστιανὴ εἶπεν. τύραννε καὶ ἀνόητε, τί λαλεῖς, οὐκ οἶδας. ἀξιόλογοι πῶς δύνανται εἶναι οἱ ἐν τοῖς δημοσίοις κείμενοι νεκροὶ ἐν σκότει ἀφανισμοῦ; μεθ' ὧν ἔχεις τὴν μερίδα καὶ οἱ μετὰ σοῦ. Λοιπὸν οὖν βλέψον καὶ αἰσχύνου, τύραννε, δαίμονας θεοὺς λέγων. Τότε Σέργιος ἡγεμὼν ὡς ἐμμανὴς ἐγένετο καὶ συμβούλιον ἐποίησεν μετὰ τῶν συγκακοσχόλων, ὥστε τὴν ὁσίαν ἐν μέσῃ τῇ ἀγορᾷ καῆναι. Ὡς δὲ τὸ προσταχθὲν ὑπὸ τοῦ τυράννου ταχέως ἐξετελεῖτο καὶ συναχθέντων ξύλων ἐκεῖ ἐκ τῶν ἐργαστηρίων καὶ τῶν βαλανείων καὶ πλῆθος πολὺ περισωρευθέντων κύκλωθεν περὶ τὴν ὁσίαν,(3) κελεύ-

---

1. Οἱ ἐνταῦθα ἀναγεγραμμένοι δὲν εἶναι πάντες τῆς τάξεως τῶν θεῶν, ἀλλά τινες ἐθεωροῦντο ἡμίθεοι ὡς οἱ δύο πρῶτοι. Ὀλίγα μόνον περὶ τοῦ Ἡρακλέους θὰ εἴπωμεν. Ἡ φόνισσα Δηϊάνειρα ἀντίζηλος τῆς Ἰόλης, ἣν ἀντ' αὐτῆς ἐνυμφεύθη ὁ Ἡρακλῆς, ἔστειλε τὸν δηλητηριασθέντα χιτῶνα τοῦ Νέσσου, ὃν διὰ δηλητηριώδους βέλους ἐφόνευσεν ἐκεῖνος, ἐν ἀγνοίᾳ ἐφόρεσεν αὐτὸν ὁ ἥρως. καταληφθεὶς ὑπὸ ὀξυτάτων πόνων τὸν μὲν κομιστὴν Λίχαν ἐξεσφενδόνισεν εἰς τὴν θάλασσαν, τὸ δὲ ἔνδυμα κατεξέσχισεν, ἀλλ' ἐπειδὴ εἶχε κολλήσει, ἀπέσπα καὶ τεμάχια σάρκας. Ἐκεῖθεν ἀνελθὼν εἰς τὸ ὄρος Οἴτην συσσωρεύσας ξύλα διέταξε νὰ θέσωσιν αὐτὸν ἐπ' αὐτὰ ἀφοῦ τὰ ἀνάψωσιν. ἀλλ' οὐδεὶς ἠθέλησε νὰ προσφέρῃ αὐτῷ τοιαύτην ὑπηρεσίαν ἐκ τῶν ἀκολούθων του, εἰμὴ ὁ παρατυχὼν Ποίας, ὁ πατὴρ τοῦ Φιλοκτήτου. Οὗτος εἰς ἀμοιβὴν ἔλαβεν ὡς δῶρα τὸ τόξον καὶ τὰ βέλη τοῦ Ἡρακλέους· Ἀπὸ τῆς καμίνου τοῦ πυρὸς νέφος κατελθὸν ἐξ οὐρανοῦ ἀνήρπασε τὸν υἱὸν τοῦ Διὸς ἐν μέσῳ βροντῶν καὶ ἀστραπῶν καὶ μετέφερεν εἰς τὸν Ὄλυμπον. Ἐγένετο δεκτὸς ὑπὸ τῆς Ἀθηνᾶς καὶ τοῦ Ἀπόλλωνος καὶ λαβὼν θέσιν πλησίον τοῦ Διὸς κατέστη ἀθάνατος.

2. Τοῦτο κατὰ τὸν σχολιαστὴν δὲν εὐσταθεῖ λεγόμενον περὶ τοῦ Ἀπόλλωνος περὶ τοῦ Ἀσκληπιοῦ μάλιστα, ὡς καὶ ἐπιφέρεται.

3. Ἔχει πολλὴν ὁμοιότητα τὸ μαρτύριον τῆς Σεβαστιανῆς διά τε τὴν παρρησίαν καὶ τὸ ἐκπληκτικὸν θάρρος πρὸς τὸ τοῦ ἱεροῦ Πολυκάρπου Σμύρνης κατὰ 60 ἔτη βραδύτερον μαρτυρήσαντος καὶ εἰς φράσεις ἔτι. Τούτου ἐκτενὲς ἀπόσπασμα διέσωσεν ἡμῖν ὁ Εὐσέβιος ἐν τῷ Δ' βιβλίῳ τῆς Ἐκκλ. ἱστορίας, 15, σ. 156—162. ἐν § 29, σ. 159, 12 (Dindorf) γράφει: «Ταῦτα οὖν μετὰ τοσούτου τάχους ἐγένετο, θᾶττον ἢ ἐλέγετο, τῶν ὄχλων παραχρῆμα συναγαγόντων ἐκ τῶν ἐργαστηρίων καὶ ἐκ τῶν βαλανείων ξύλα καὶ φρύγανα, μάλιστα Ἰουδαίων προθύμως, ὡς ἔθος αὐτοῖς ὑπουργούντων».

σαντος τοῦ τυράννου ἀναφθῆναι τὴν πυρὰν ἁπτωμένων τῶν ξύλων καὶ τῆς φλογὸς εἰς ὕψος ἠρμένης, ἡ ὁσία ἵστατο εἰς μέσον τῆς πυρᾶς καὶ οὐχ ἥπτετο αὐτῆς φλόξ.

§ 9. Τότε ἡ ἁγία Σεβαστιανὴ ἤρξατο λέγειν καὶ εὔχεσθαι οὕτως: «ὦ Θεὸς τῆς δόξης, ὁ ἐπὶ τὸν οὐρανῶν κατοικῶν! ὦ Θεὸς ὁ ἐπὶ τῶν Χερουβίμ καί Σεραφίμ ἀναπαυόμενος, ὁ στύλος τοῦ φωτός, τὸ ἑδραίωμα τῆς δικαιοσύνης, τὸ περιβόλαιον τῶν ἀγγέλων, τὸ ἔνδυμα τῶν ἁγίων, ἐπίβλεψον ἐπ' ἐμὲ καὶ σβέσον τὸ πῦρ τὸ παρὰ τῶν ἀσεβῶν ἐξαφθέν, ἵνα γνῶσιν, ὅτι σὺ εἶ Θεὸς μόνος καὶ Υἱός σου Ἰησοῦς Χριστὸς καὶ τὸ ἅγιόν σου Πνεῦμα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν». Ὡς δὲ πολλοὶ ἀνέπεμψαν τὸ Ἀμήν, ἦχος ***ἐγένετο μέγας ἐκ τοῦ οὐρανοῦ καὶ ἀστραπὴ καὶ χάλαζα, ὥστε τὸ πῦρ σβεσθῆναι, πολλοὺς καὶ κινδυνεῦσαι καὶ τὸν ἡγεμόνα φυγεῖν μετὰ τῶν λοιπῶν πάντων, κράζοντας καὶ λέγοντας· εἷς Θεὸς Σεβαστιανῆς καὶ Παύλου καὶ Ἰωάννου, ὁ ἐν τῇ πόλει ταύτῃ κηρυχθείς, ὁ καὶ νῦν διὰ τῆς ἁγίας Σεβαστιανῆς σώζων τὴν πόλιν ἡμῶν.***(1)

§ 10. Ὡς δὲ ἐπαύσατο ὁ ὀρυγμὸς τῆς χαλάζης καὶ τῆς ἀπειλῆς καὶ πολλῶν τῶν ἀνόμων ἀποθανόντων, μετεκαλέσατο ὁ ἡγεμὼν τὴν ὁσίαν καὶ λέγει πρὸς αὐτήν. Τίς εἶ; καὶ τὶ τὰ περὶ σέ; καὶ ἐκ ποίας εἶ χώρας; ἀπάγγειλόν μοι, ὅτι οὐδέν σου ἅπτεται. Ἀπεκρίθη ἡ ὁσία καὶ λέγει αὐτῷ. Ἐκπεσὼν τῆς ἀληθείας τὸ γένος καὶ τὴν χώραν ἐπιζητεῖς, ἄφρον καὶ τυφλὲ υἱὲ τοῦ διαβόλου, σκεῦος τοῦ σατανᾶ, ἐνθήκη τοῦ ὄφεως;(2) Σέργιος ὁ ἡγεμὼν εἶπε. οὐ παύῃ φλυαρίας σου,

---

1. Περὶ τοῦ ἐν Θράκῃ κηρύγματος Παύλου καὶ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ τὸ πρῶτον ἐνταῦθα γίνεται μνεία καὶ εἶναι σπουδαία ἡ εἴδησις αὕτη ἐξηγοῦσα οὕτω τὴν τόσῳ πρώϊμον ἐμφάνισιν μαρτύρων ἐν Θράκῃ, καὶ τὴν ἐπιδειχθεῖσαν θερμότητα τῆς πίστεως αὐτῶν καὶ τὸν ἱερὸν ἐνθουσιασμὸν καὶ πρὸ παντὸς τὸ θάρρος καὶ τὴν αὐταπάρνησιν. Ἐκ τοῦ Εὐσεβίου μανθάνομεν, ὅτι ὁ σκληρὸς διώκτης τῶν χριστιανῶν Δομιτιανὸς κατεδίωξε καὶ τὸν Εὐαγγελιστὴν Ἰωάννην καὶ ἐξώρισεν αὐτὸν ἐκ τῆς Πάτμου, (Ἐκκλ. ἱστορ.ΙΙΙ,33 ἔπιθι ὅλον τὸ κεφ). Κατὰ τὸ διάστημα μέχρι τοῦ Τραϊανοῦ «ἀπὸ τῆς.... νήσου μετῆλθεν ἐπὶ τὴν Ἔφεσον, ἀπῄει παρακαλούμενος καὶ ἐπὶ τὰ πλησιόχωρα τῶν ἐθνῶν, ὅπου μὲν ἐπισκόπους καταστήσων, ὅπου δὲ ὅλας ἐκκλησίας ἁρμόσων.....» (αὐτ. τὸ χωρίον ἐκ τῶν τοῦ Κλήμεντος Ἀλεξανδρέως).

2. ἐνθήκη ὁ ἐκδότης τοῦ βίου τούτου διαπορεῖ περὶ τῆς σημασίας τῆς λέξεως καὶ κάλλιον φρονεῖ θὰ ἦτο τὸ ἔνδυμα. ἀλλὰ τοιοῦτόν τι δηλοῖ τὸ ἐνθήκη, ὡς βλέπω εἰς τὴν τοῦ 1952 ἔκδοσιν τοῦ Liddell—Scott λεξικοῦ, ὅπου ὑπάρχει παραπομπὴ εἰς τό Berliner griechische Urkunden (Aegyptische urk unden aus den Königl. Museum zu Berlin) 1895, 890, 25 (11 A.D.). Ἀλλ'

γύναιον, καὶ ἐπιστρέφεις ἐπὶ τοὺς θεοὺς καὶ ποιεῖς αὐτοῖς θυσίας, ἵνα μὴ κολασθῇς; Σεβαστιανὴ εἶπεν· κύων τύραννε ὑλακτῶν, οὐ πονῶν(1) εἰς τὸν φόβον τοῦ Θεοῦ, ὃς τιμωρήσεταί σου τὴν ψυχήν, μιαροφάγε γέννημα τοῦ διαβόλου, ὅτι οὐ θαυμάζεις τὰ τοῦ Θεοῦ μυστήρια. Σέργιος ἡγεμὼν εἶπεν τῷ λογιστῇ Πηγασίῳ· πόθεν ὧδέ ἐστιν τὸ γύναιον τοῦτο; καὶ ποίας πόλεως ἐστίν; Πηγάσιος ὁ λογιστὴς εἶπεν. Πόλεως Σεβαστῆς ἐστίν, λογικὴ (sic) πρώτη τῶν λαμπροτάτων· ποίᾳ δὲ μανίᾳ περιέπεσε, οὐκ οἶδα· καὶ γάρ ὁ πατὴρ αὐτῆς τρίτον κάνδιδα(2) ἔδωκεν καὶ φίλος ἐγένετο τῶν θαυμασίων θεῶν καὶ νῦν τὸ γένος αὐτῆς *ἐν τῇ Εὐρώπῃ τῆς μητροπόλεως Ἡρακλείας*(3) ἐν πολλῇ εὐδαιμονίᾳ διάγει.

§ 11. Σέργιος ἡγεμὼν εἶπεν. βούλει τοῖς θεοῖς θῦσαι ἢ *δέσμιόν σε ποιήσω ἐν Ἡρακλείᾳ ἀπελθεῖν, ἵνα ἐκεῖ τιμωρηθῇς* εἰς ὄνειδος τοῦ γένους σου; Ἡ ἁγία Σεβαστιανὴ εἶπεν. οὐκ αἰσχύνῃ, τύραννε, πάλιν καλῶν θεούς; Θῦσον τῷ ἐν τοῖς οὐρανοῖς. Σέργιος εἶπεν. οὐ ποιῶ σου τὸ θέλημα καὶ ἂν ἐρῶ σε· ἐκπέμπω γάρ σε ἐν Ἡρακλείᾳ, ἵνα ἐν ἀτιμίᾳ θεωρηθῇς ὑπὸ τοῦ γένους σου. Ὧδε γὰρ δραπετεύουσα ἦλθες, μὴ πειθομένη τοῖς δικαίοις θεοῖς. Σεβαστιανὴ εἶπεν. ἐὰν ἀποστείλῃς με ἐν Ἡρακλείᾳ δέσμιον, γνωριζομένην με ποιεῖς

---

ἐνταῦθα ἔχει μεταφορικὴν ἔννοιαν, ὅπερ οἱ πατέρες τῆς ἐκκλησίας μεταχειρίζονται ὡς καὶ τὸ σκεῦος τοῦ σατανᾶ, διότι ὁ τύραννος μορφὴν μόνον ἀνθρώπου εἶχεν, ἣν ὑπεδύθη ὁ σατανᾶς.

1. οὐ πονῶν, δὲν φροντίζεις. ἡ λ. κεῖται ἐπὶ ἀρχαίας σημασίας, ἥτις συνήθως ἐν συνθέσει τόγε νῦν εὑρίσκεται, φιλόπονος, γεωπόνος κττ. καὶ ἁπλῶς «τῶν πόνων τὰ ἀγαθὰ πωλοῦσιν ἡμῖν οἱ θεοί». ἐν συγγραφικαῖς ἐργασίαις πόνος, πόνημα, φιλοπόνημα ἐν τῇ ἀλβανικῇ λέξει punoj (=πονῶ) ἔχομεν τὴν ἀρχαιοπινῆ σημασίαν τοῦ καλλιεργῶ τὴν γῆν καὶ punëtor ὁ ἐργαζόμενος καὶ δὴ ὁ ξενιτευόμενος.

2. κάνδιδα καθ' ἑλληνικὴν ἐκφορὰν ὁ πληθυντ. ὅπως Ὀλυμπία, Νέμεα, Ἴσθμια. Περὶ τῆς τάξεως καὶ τῶν καθηκόντων τῶν κανδιδάτων γράφει ὁ Ἰωάννης Λαυρ. Λυδὸς (βλ. De magistribus populi Romani ἢ «Περὶ ἀρχῶν τῆς ρωμ. πολιτείας» βιβλία 3, ἔκδ. R. Wuensch, Lipsiae, 1903, σ 30, ἦσαν δὲ οὗτοι ἀνώτατοι αὐλικοὶ ἐπιλεγόμενοι ἐκ τοῦ τάγματος τῶν σχολαρίων (Meursius, σ. 212). Κατὰ ταῦτα τῆς μεγαλόφρονος Σεβαστιανῆς οἱ γονεῖς ἦσαν τῶν ἐπισημοτάτων (περαιτέρω βλ. τό σχόλιον, σ. 8*).

3. Περὶ Ἡρακλείας μητροπόλεως τῆς Εὐρώπης, ὅπου εἶχον μετοικήσει οἱ γονεῖς τῆς Σεβαστιανῆς βλ. ἡμέτερον ἄρθρον «Εἰσαγωγὴ εἰς τὴν ἐκκλησιαστικὴν ἱστορίαν τῆς Ἡρακλείας» (ἀνάτ. ἐκ τοῦ ΙΖ' τόμου τῶν «Θρακικῶν», Ἀθῆναι 1942, σ. 1—2), τὸ πρῶτον συναντᾶται «μητρόπολις Ἡρακλείας ἐν τῇ Εὐρώπῃ».

εἰς τὸ γένος μου, μάλιστα τοῖς φοβουμένοις τὸν Θεόν. Σέργιος ἡγεμὼν εἶπεν τῷ κήρυκι: Σεβαστιανήν, ***τὴν ἀπὸ Σεβαστείας τῆς Φρυγίας ὁρμωμένην,***(1) ***εὑρεθεῖσαν φυγάδα ἐν τῇ Μαρκιανοῦ πόλει*** (ἡ καὶ ἐν πολλαῖς μαγείαις περιδραμοῦσα) ἐκέλευσεν τὸ ἐμὸν ὑπέρλαμπρον δικαστήριον ταύτην δέσμιον καταπεμφθῆναι ἐν τῇ μητροπόλει Ἡρακλείᾳ. Γράψον οὖν τῷ ἐκεῖσε ἡγεμόνι τοιάδε: «Σέργιος Ἰοῦστος, κράτιστος ἡγεμὼν τῆς Μαρκιανοῦ πόλεως τῷ κρατίστῳ ἡγεμόνι Πομπηιανῷ τῆς μητροπόλεως Ἡρακλείας χαίρειν. Σεβαστιανὴν δραπετεύουσαν καὶ ἀποστᾶσαν τῶν θεῶν καὶ μὴ βουληθεῖσαν εἶξαι τῇ κελεύσει τοῦ Σεβαστοῦ, πολλαῖς βασάνοις ὑποβληθεῖσαν ἐξέπεμψα αὐτὴν τῇ σῇ ἐξουσίᾳ».

§ 12. Ὡς δὲ ἤκουσαν οἱ χριστιανοὶ τὴν ἐξενεχθεῖσαν κατὰ τῆς ἁγίας ἀπόφασιν, συνῆλθον πενθοῦντες, οὐ διὰ τὴν τῆς ἁγίας ἄφεσιν, ἀλλ' ***ὅτι τῆς παρθενικῆς χορείας καθηγήτρια ὑπῆρχεν καὶ πολλοὺς ὑπεστήριζεν τῇ πίστει.*** Ἀσπαζομένη οὖν τοὺς ἀδελφοὺς παρεκάλει ἐμμένειν τῇ πίστει τοῦ Χριστοῦ καὶ προσμένειν τῇ ἐκκλησίᾳ τοῦ Χριστοῦ. Ὡς δὲ ἔλαβον αὐτὴν οἱ στρατιῶται ἐξουσίας, ἔθηκεν τὰ γόνατα καὶ ηὔχετο ἐπὶ τοσοῦτον, ὥστε σαλευθῆναι τὸν τόπον ὅλον καὶ τρομάξαι τοὺς στρατιώτας σὺν τοῖς παρεστῶσιν καὶ πεσόντας προσκυνῆσαι αὐτήν. Ἀναστᾶσα ἡ ὁσία εἶπεν οὕτως: ὁ συνοδεύσας τοῖς ἁγίοις ἀποστόλοις συνοδός μου γενοῦ ἐν τῇ ὁδῷ, ἣν ἐγὼ πορεύομαι εἰς τὸ μαρτύριόν σου καὶ φύλαξόν μου τὴν ψυχὴν

---

1. Σεβάστεια τῆς Φρυγίας (τουρκ. Σιβάζ, Σουβάζ) παρὰ τὸν Ἅλυν ποταμόν, ἀποτελεῖ κέντρον συγκοινωνίας τῆς Μ. Ἀσίας. Ἐν ἄλλῃ θέσει ἔκειτο ἡ παλαιὰ Σεβαστὴ (εἰς 8 χιμ. ἀπόστασιν τῆς νέας) ἐπὶ τοῦ Ἅλυος, ἥτις ἀρχικῶς ἐκαλεῖτο Κάβειρα περίφημος διὰ τὸν ναὸν τοῦ Λίνου, ὁ δὲ Πομπήϊος μετωνόμασεν αὐτὴν Διόσπολιν. Ἦν ἡ κυριωτέρα τοῦ Πόντου πόλις, ἔπειτα ὠνομάσθη πρὸς τιμὴν τοῦ Αὐγούστου Σεβαστή. Ὁ Ἰουστινιανὸς διαιρέσας εἰς 4 ἐπαρχίας τὴν Μ. Ἀσίαν 2αν ἔταξε ταύτην. Ἐπὶ Ἀρμενοκρατίας ἐγένετο πρωτεύουσα τῆς Μικρᾶς Ἀρμενίας. Ὁ καθεδρικὸς ναὸς ἦν ὁ ἅγιος Γεώργιος. Ἐν τῷ χριστιανισμῷ ἡ πόλις αὕτη θεωρεῖται μαρτυρικὴ διότι ἐμαρτύρησαν οἱ 40 μάρτυρες ῥιφθέντες τὴν 9 Μαρτίου εἰς δριμὺ ψῦχος καὶ παγετῶνα ἐντὸς τῆς εἰς ἡμίσειαν ὥραν ἀπόστασιν κειμένης λίμνης τῷ 320. Ἔχοντες ὑπόδειγμα τὴν ἁγίαν Σεβαστιανὴν ἐντὸς τῆς πεπηγυίας λίμνης ἔψαλλον ὁμοφώνως: «Δριμὺς ὁ χειμών, ἀλλὰ γλυκὺς ὁ παράδεισος. ἀλγεινὴ ἡ πῆξις, ἀλλ' ἡδεῖα ἡ ἀπόλαυσις. Μὴ οὖν ἐκκλίνωμεν, ὦ συστρατιῶται, ἵνα τοὺς στεφάνους τῆς νίκης ἀναδησώμεθα....» (1 ἰδιόμελον τοῦ ἑσπερινοῦ). Ὁποίαν σημασίαν ἔχει τὸ παράδειγμα ἀπέδειξεν ὁ ἀρχιμ. Ἱερώνυμος Κοτσώνης εἰς «Τὸ ἐνθουσιαστ. στοιχεῖον εἰς τὴν ἐκκλησίαν τῶν μαρτύρων». Ἀθῆναι, 1952.

διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἁγίου Πνεύματος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

§ 13. Καὶ οὕτως ἐξώρμησεν, ***ὁ στύλος τῶν μαρτύρων, ἡ ἀδελφὴ Θέκλης, ἡ τὴν διδασκαλίαν Παύλου ποτίζουσα, ἡ γραφὴ*** (γράφε γραφικὴ) ***χορεύτρια τῶν ὁδῶν τοῦ Χριστοῦ***. Ὡς δὲ ἤνυσεν τὴν ὁδὸν πρὸς Πόντον μετὰ τῶν στρατιωτῶν, ἦλθεν ἕως Ὀδυσσοῦ(¹) καὶ ἀσπασαμένη Φιλέαν τὸν ἐπίσκοπον καὶ τὴν ἐκλεκτὴν(²) εἰς τοὺς καταβόλους(³) καὶ ἀνῆλθεν καὶ ἠσπάσατο τοὺς ἀδελφούς. Ἐξελθοῦσα δὲ εἰς Ἀγχίαλον καὶ εὑροῦσα μαθητὴν τοῦ ἁγίου Παύλου, ὀνόματι Θεοφάνιον, ἠσπάσατο αὐτὸν σὺν τοῖς ἀδελφοῖς. Ἐξώρμησεν διερχομένη Ἀδριανοῦ πόλιν καὶ κώμας κατήντησεν εἰς Ἀρκαδίου πόλιν καὶ ὀλίγους ἀδελφοὺς εὑροῦσα, παρεκάλεσεν αὐτοὺς καὶ ηὔξαντο. Ἄγγελος δὲ Κυρίου παρέστη αὐτῇ λέγων: «Ἴσχυε καὶ ἀνδρίζου, Σεβαστιανή· ἔχεις γὰρ ἡγεμόνι παραστῆναι· ἀλλὰ μὴ φοβηθῇς· ἐγὼ

---

1. Ὀδυσσὸς ἢ μᾶλλον Ὀδησσὸς εἶναι ἡ νῦν Βάρνα τῆς ἀνατ. Ρωμυλίας καὶ ὄχι ἡ Ὀδησσός,ἥτις κεῖται εἰς τὴν ἀντίπεραν ρωσικὴν ἀκτήν.Ἡ Μαρκιανούπολις (βλ. πρόλογον) ἀπεῖχε ΝΔ τῆς Ὀδησσοῦ 18 χιλ. ἡ δὲ Ἀρκαδιούπολις εἶναι τὸ Λουλέ—Μπουργάζ.

2. Τὴν ἐκλεκτήν. Ὁ ἐκδότης διώρθ. τὸν κώδικα, ὅστις ἔχει τὴν ἐκλητὸν καὶ θεωρεῖ τὸ ὄνομα ἐκλεκτὴ κύριον θηλ. γένους παραπέμπων εἰς τὴν ἐπιστ. Ἰωάννου Β1: Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς. Ἀλλὰ δὲν εἶδε καὶ τὸ τελευταῖον: «ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς». Περὶ τούτου, ὅτι εἶναι ἐπίθετον, ἠσχολήθημεν ἐν ταῖς «Ἀλβανικαῖς μελέταις—Ἡ μετάφρασις τῆς Κ. Διαθήκης εἰς τὸ Ἀλβανικόν.. ..» Θεσσαλονίκη, 1933 σ. 172—173, καὶ ἀπεδείξαμεν, ὅτι οἱ ἑρμηνευταὶ οὕτως ἐκλαμβάνουσιν ἐπιθετικῶς τὴν λέξιν καὶ πᾶσαι αἱ ἐκδόσεις διὰ μικροῦ γράμματος γράφουσι. τὸ κεφαλαῖον μετεδόθη ἐκ τῶν κωδίκων τοῦ μεγαλογραμμάτου ρυθμοῦ (βλ. Novum Testamentum graece.... apparatum criticum apposuit Const Tischendorf etc. Vol III Prolegomena scripsit C. R. Gregory Pars prior. Lipsiae, 1884, σ 320). Τὸ ἀνωτέρω ἔργον ἐγράψαμεν πρὶν ἢ μεταβῶμεν εἰς Ἀλβανίαν, ὅτ' ἐμάθομεν, ὅτι κατ' ἔγκρισιν πατριαρχικὴν καθιερώθη ἐκεῖ ἐπ' ἐκκλησίας ἡ ἀλβ. γλῶσσα καὶ ἀπεδείξαμεν, ὅτι ἔσπευσαν πολὺ διότι αἱ γενόμεναι μεταφράσεις δὲν εἶναι ἔγκριτοι γενικῶς κτλ. καὶ ὅτι πρὶν δέον νὰ δημιουργήσωσιν οἱ Ἀλβανοὶ ἐκκλησ. γλῶσσαν. Ἐκλεκτὴ ἐνταῦθα εἶναι ἡ ἐκκλησία κατὰ παράλειψιν ἢ οἱ ἐκκλησιαζόμενοι, τὸ ἄθροισμα τῶν πιστῶν.

3. ἐν τοῖς καταβόλοις. κατὰ τὸν Θουκ. I, 30 σχολιαστὴν καταβόλος λιμήν, ὁρμίσκος. Ὁ ἐκδότης παραπέμπει ἐπ' αὐτῆς τῆς σημασίας εἰς τὸν Σουΐδαν, ἀλλὰ τὸ χωρίον τοῦτο δὲν ὑπάρχει εἰς τὴν νέαν ἔκδοσιν τῆς Ada Adler III, Lipsiae, 1933. Παραπέμπει δὲ καὶ εἰς τὸν βίον τοῦ ἁγίου Μαρκέλλου πάπα Ρώμης «.....ut ibidem animal catabuli congregata starent».

γάρ εἰμι μετὰ σοῦ». Ἡμέρα ἐγένετο, ἐπὶ τὴν Ἡράκλειαν ἀφήκατο (sic).

§ 14. Εὐθέως οὖν ἀκούσαντες οἱ χριστιανοὶ παραγινομένην τὴν ἁγίαν Σεβαστιανὴν ἐν πόλει Ἡρακλείας, τὴν καὶ ἐκ πολλῆς φήμης ζητουμένην, ὁμοθυμαδὸν συνέδραμον πάντες οἱ χριστιανοὶ ἀδελφοὶ ἀσπάσασθαι αὐτήν, ἣ ἐπελθοῦσα εἰς τὴν ἐκκλησίαν προσηύξατο. Μετὰ δὲ τὴν εὐχὴν παρεκάλεσε τοὺς στρατιώτας ἡ ἁγία Σεβαστιανὴ ἐνδοῦναι αὐτῇ, ὅπως ἀναπαύσηται μίαν ἡμέραν καὶ τὴν δευτέραν· τῇ δὲ τρίτῃ ἡμέρᾳ ἐπιδοθῆναι τὰ γράμματα Πομπιανῷ ἡγεμόνι. Καὶ ἀναγνοὺς τῇ ἑξῆς προκαθήσας ὁ τύραννος ἐν τῷ ἱερῷ τῆς ἀγορᾶς δημοσίᾳ ἐκέλευσεν κληθῆναι τὴν ὁσίαν. Ἡ δὲ παραστᾶσα ἐπὶ τοῦ βήματος λέγει οὕτως «ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου. Ἐξεπλάγη δὲ ὁ ἡγεμὼν ἐπὶ τῇ τοσαύτῃ τόλμῃ τῆς μάρτυρος καί φησι πρὸς αὐτὴν πόθεν ἐλήλυθας θεοπρεπὲς καὶ τῶν θεῶν συνόμιλε; Λέξον ἡμῖν παρρησίαν ἔχουσα. Σεβαστιανὴ εἶπεν. Ἐν δυτικῇ χώρᾳ διελθοῦσα ἐκεῖθεν κατέλυσα τὸν πατέρα σου τὸν σατανᾶν καὶ ὧδε ἦλθον φονεῦσαι τὸν διάβολον τὸν ὑπὸ σοῦ θεραπευόμενον. Πομπηιανὸς ἡγεμὼν εἶπεν· ἐν πρώτοις ἤρξω ὑβρίζειν, κακὴ κεφαλή, ἐμὲ καὶ τοὺς ἐμούς. Ἐγώ σου τὸ εὔτονον καταλύσω.

§ 15. Ἡ ὁσία Σεβαστιανὴ εἶπεν. Δύναμίς ἐστίν ἐν ἐμοὶ καὶ Χριστοῦ παρρησία, ὅθεν οὐ φροντίζω τῶν ἀπειλῶν σου. Ποίει οὖν, ὃ θέλεις. Πομπηανὸς ἡγεμὼν εἶπεν. Θῦσον τοῖς θεοῖς καὶ σώζου. Σεβαστιανὴ εἶπεν· σὺ ἕξεις μετὰ αὐτῶν τὴν μερίδα· ἐγὼ γὰρ ἔχω τὸν Θεὸν ἐν τοῖς οὐρανοῖς, ὅστις καὶ σε τιμωρήσεται κἀκείνους διασκορπίσει. Πομπηανὸς ἡγεμὼν εἶπεν. Ἐλεῶ σε ὁρῶν τὸ κάλλος σου καὶ τὴν σοφίαν καὶ οὐ δύναμαί σε πρὸ καιροῦ βασανίσαι. Σεβαστιανὴ εἶπεν. Ἑαυτὸν ἐδύνου ἐλεῆσαι. Νῦν δέ σε γέεννα πυρὸς περιμένει, ἐὰν μὴ νήψῃς καὶ καταλείψῃς τὴν μανιώδη θρησκείαν τῶν βδελυγμάτων. Τότε ὀργισθεὶς ὁ Πομπηιανὸς ἐκέλευσεν αὐτὴν κρεμασθεῖσαν ξέεσθαι. Ξεομένης δὲ αὐτῆς ἕως τριῶν ὡρῶν οὐδεμία φωνὴ ἐξήρχετο ἐξ αὐτῆς. ἦν γὰρ ἡ ψυχὴ αὐτῆς ὡς ἀποδημήσασα ἀπὸ τοῦ σώματος αἱ σάρκες αὐτῆς ἀπέπεμπον εὐωδίαν ὡς μῦρα. Ἐπὶ πολὺ δὲ βασανιζομένη ἐσιώπα.

§ 16. Καθιζόμενος δὲ τύραννος εἶπεν· οὐδέπω ᾔσθου τῶν βασάνων Σεβαστιανή; Ἀποκριθεῖσα δὲ ἡ ὁσία εἶπεν. φιμώθητι· οὐ γὰρ ἔξεστίν σοι περιεργάζεσθαι· ὃν γὰρ ὁ Θεὸς θέλει σώζεσθαι, φυλάττει. Πομπηανὸς εἶπεν· πολλά σου ἀνεσχόμην τρέφων σου τὴν μωρίαν. Τοῦτό γε γίνωσκε, νὴ τοὺς θεούς μου ἅπαντας, ὅτι ἐὰν μὴ θύσῃς τοῖς θεοῖς κατὰ τὸ πρόσταγμα τοῦ βασίλεως πολλαῖς καὶ μεγάλαις

βασάνοις ὑποβληθήσῃ, ἵνα μὴ οἱ Γαλιλαῖοι(¹) ὀστέων σου εἰς μαρτύριά σου περιποιήσωνται. Σεβαστιανὴ εἶπεν· μωρὲ κύον, ἀνήμερε λύκε, δύστηνε ἔδε, ἔχεις σάρκας. Πάντων βελῶν ὀξύτερα πρὸς ἄσβεστον πῦρ ἑτοιμάζου.

§ 17. Ταῦτα ἀκούσας ὁ ἡγεμὼν ἐκέλευσεν αὐτὴν ἐξενεχθῆναι καὶ κλεισθῆναι εἰς τὴν φυλακήν, ἕως σκέψηται ποίῳ θανάτῳ ἀναλώσει τὴν ὁσίαν. Σκεψάμενος δὲ μετὰ τῶν κακοσχόλων, ὅ τι πράξωσιν περὶ τῆς ὁσίας καὶ ποιήσαντες κατέκρινον αὐτὴν πρὸς *θηρίας*.(²) Κυνηγῶν δὲ ἀγομένων ὑπὸ τοῦ ἡγεμόνος προετράπη ὁ σταδιάρχης ἐπαφῆναι αὐτὴν λέοντα. Ὡς δὲ ὄρθρος ἐγένετο καὶ φωνὴ σάλπιγγος ἐβόα, διαδρομή τε πολλὴ τῶν ἐργατῶν τοῦ διαβόλου ἐγένετο καὶ ἐπόμπευον τὰ θηρία καὶ πάντες ἀνέβαινον εἰς τὸ στάδιον πρὸς τὴν ἀνομοθεωρίαν. Προκαθήσας ὁ ἡγεμὼν ἐκέλευσεν ἀχθῆναι τὴν δικαίαν. Ὡς δὲ ἦλθεν ἡ ὁσία εἰς τὸ στάδιον, φωνὴ ἦλθεν ἐκ τοῦ οὐρανοῦ λέγουσα αὐτῇ. «Ἴσχυε καὶ ἀνδρίζου, Σεβαστιανή· δεῖ γὰρ διὰ πολλῶν βασάνων στεφανωθῆναι στέμμασιν αἰωνίοις».

§ 18 Ἡνίκα δὲ εἰσῆλθεν ἐν τῷ σταδίῳ ἡ ἁγία ἐπάρασα τὰς χεῖρας εἰς τὸν οὐρανὸν καὶ ἐμβλέψασα εἰς τὸ ὑψηλότατον πέλαγος ηὔξατο λέγουσα. Ὁ Θεός, ὁ τρέφων με ἐκ νεότητός μου, ὁ τὸ οὐράνιον κάλλος στιλβώσας, ὁ τὸν ἥλιον φαιδρύνας καὶ τὴν σελήνην καιροῖς ὁρίσας, ὁ τῶν ἀστέρων τὸν ἀριθμὸν κατέχων, ὁ τῶν καιρῶν τὰς ἐπωνυμίας προκαταρτίσας· ὁ Θεός, ὁ τῶν κρυπτῶν γνώστης, ὁ τὸν πλοῦτον σου τοῖς ἀξίοις σου διαμερίσας, αὐτός, δέσποτα, παρακαλῶ μὴ ἀποδοκήσῃς (³) μου, μὴ δὲ ἀφῇς με νικηθῆναι ὑπὸ τοῦ κακόφρονος Πομπηιανοῦ καὶ τοῦ πατρὸς αὐτοῦ διαβόλου· ὁ μὴ ἐάσας συμποδισθῆναι τὸν ἔνδοξόν σου Δανιὴλ ὑπὸ τῶν Βαβυλωνίων ἐν τῷ λάκκῳ τῶν λεόντων (⁴) ὁ μὴ παριδὼν τοὺς τρεῖς παῖδας ἐν χειρὶ τῆς

---

1. Γαλιλαῖοι ἐλέγοντο ἀπὸ τοῦ Ἰουλιανοῦ παραβάτου καὶ ἑξῆς ὑπὸ τῶν εἰδωλολατρῶν οἱ χριστιανοὶ (βλ. Κοντογόνου Ἐκκλησ. ἱστορίαν Α', Ἀθῆναι, 1876, σ. 409, 543.

2. Πρὸς θηρίας, ἴσ. ἐλλείπει λέξις. τὸ λατ. ἔχει ad bastias συνήθως: πρὸς βορὰν θηρίοις.

3. ἀποδοκήσῃς=ἀποδοκιμάσῃς

4. Ὁ Δανιὴλ ὁ ἑρμηνεύσας τὰς τρεῖς συμβολικὰς λέξεις: «Μανή. Θεκέλ, Φαρές» ὡς προδηλούσας τὴν ἄμεσον καταστροφὴν τοῦ βασιλέως τῶν Βαβυλωνίων Βαλτάσαρ, ἀντὶ τιμῆς καὶ δόξης ἐβλήθη ὑπὸ τοῦ καταλαβόντος τὴν βασιλείαν Μήδου Δαρείου εἰς τὸν «λάκκον τῶν λεόντων,» ἵνα σπαραχθῇ παρ' αὐτῶν (Προφ. Κεφ. ς'.). Τὸ δὲ σφάλμα του ἦτο ἡ παράβασις τοῦ δόγματος τοῦ βασιλέως, ὅστις διεκήρυξεν, ὅτι ἐπὶ μῆνα νὰ μὴ τολμήσῃ τις ἐκ

ἀνόμου εἰκόνος, (¹) ὁ τὸν Βὴλ καταστρέψας καὶ τὸν δράκοντα ἀποκτείνας (²) ἔπιδε, Κύριε, ἐκ τοῦ οὐρανοῦ τοῦ ἁγίου σου καὶ φράξον τὰ στόματα τῶν θηρίων τῶν μελλόντων με προσιέναι. Καὶ ταῦτα λέγω, Κύριε, οὐ λυπουμένη τοῦ μεταναστεῦσαι [ἀπὸ] τὸν ἐπώδυνον βίον, ἀλλ' ἵνα ἐν πολλοῖς σημείοις ἤδη ἡ δόξα σου ἔτι τιμηθῇ, ἵνα οἱ σκληροτράχηλοι ἐπιτραφῶσι ἐπὶ σὲ καὶ πᾶν εἴδωλον ἐκκοπῇ καὶ πᾶν σέβασμα ἀνατραπῇ, ἵνα σοὶ ἡ δόξα τῷ Πατρὶ διὰ πάντων τῶν ταπεινῶν προσφέρηται εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

§ 19. Πάντων δὲ τῶν Χριστιανῶν ἀναπεμψάντων τὸ Ἀμήν, διεβλέψατο ὧδε καὶ ὧδε ὁ τύραννος, ὅπώς τινα ἰσχύσῃ ἐπίσημον ἰδεῖν (³). Τοῦ δὲ Κυρίου ἀλλοιώσαντος τὴν διάνοιαν αὐτοῦ οὐκ ἴσχυσεν οὐδένα γνωρίσαι. Ὡς δὲ ἐπληρώθη ἡ εὐχὴ τῆς ὁσίας μάρτυρος, ἐκέλευσεν ὁ ἡγεμὼν ἀπολυθῆναι αὐτῇ λέοντα ἀνήμερον, καὶ πρὸ τοῦ

---

τῶν ὑπηκόων νὰ ζητήσῃ τι παρὰ τοῦ Θεοῦ, τοῦθ' ὅπερ ὁ Δανιὴλ ἐφωράθη παραβάς. Ἀλλ' ὁ Θεὸς ἔφραξε τὰ στόματα τῶν λεόντων καὶ οὔτε ἤγγισαν αὐτόν. Τότε ὁ βασιλεὺς ἔρριψεν εἰς τὸν λάκκον τοὺς διαβαλόντας αὐτὸν σὺν γυναιξὶ καὶ τέκνοις, οἵτινες αὐθωρεὶ κατεσπαράχθησαν «καὶ πάντα τὰ ὀστᾶ αὐτῶν ἐλέπτυναν.

1. Οἱ τρεῖς παῖδες ἦσαν Σεδράχ, Μισάχ καὶ Ἀβδεναγὼ (Ἀνανίας, Ἀζαρίας καὶ Μισαήλ). Παραβάται καὶ οὗτοι τῆς διαταγῆς τοῦ Ναβουχοδονόσορος, δὲν προσεκύνησαν τὸ ἄγαλμα αὐτοῦ καὶ βληθέντες εἰς τὴν κάμινον τοῦ πυρὸς ἔμειναν ἀβλαβεῖς ψάλλοντες καὶ ὑμνοῦντες τὸν Θεὸν ἐν τῷ μέσῳ τῆς φλογὸς (αὐτ. Γ'. «Προσευχὴ καὶ ὕμνος τῶν τριῶν).

2. Βὴλ καὶ Βαάλ (ἥλιος) ἐν τῇ Παλ. Διαθήκῃ ὁ ἄρρην θεὸς τῶν ἀνατ. λαῶν Συρίων, Αἰγυπτίων, Χαναναίων καὶ τῶν Ἑβραίων εἰσαχθεὶς ὑπὸ τῆς Ἰεζάβελ, ὑπὸ τὸ ὄνομα Βὴλ ἢ Βὰλ ἐλατρεύετο ὑπὸ τῶν Βαβυλωνίων. Ἐν Σαμαρείᾳ εἰσήχθη καὶ ἡ θεὰ Ἀστάρτη. Ἐναντίον τῆς λατρείας οὐτῶν ἐξηγέρθησαν λάβροι ὁ Ἡσαΐας καὶ Ἱερεμίας. Κῦρος ὁ βασιλεὺς Περσῶν ὑποτάξας τοὺς Βαβυλωνίους, ἐπὶ τῆς αἰχμαλωσίας τῶν Ἑβραίων, ἐπέβαλε βίᾳ καὶ εἰς αὐτοὺς τὴν λατρείαν, ἀλλ' ἀντέστη ὁ προφήτης Δανιήλ, «καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς, διατὶ οὐ προσκυνεῖς τῷ θεῷ Βήλ; ὁ δὲ εἶπεν, ὅτι οὐ σέβομαι εἴδωλα χειροποίητα, ἀλλὰ τὸν ζῶντα Θεόν, τὸν κτίσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν...» (αὐτ. ΙΒ', «Βὴλ καὶ δράκων») καὶ ἀπέδειξεν ὁ Δανιὴλ τὴν ματαιότητα πυρὶ παραδοὺς τοὺς ἱερεῖς καὶ τοὺς ἐν ναῷ προσευχομένους, ἐνῶ ὁ ναὸς εὑρέθη τὸ πρωῒ ἐσφραγισμένος ἐπίσης καὶ τὸν δράκοντα ἐξωλόθρευσεν λαβὼν «πίσσαν καὶ στέαρ (λῖπος) καὶ τρίχας καὶ ἥψησεν αὐτὰ καὶ ἔδωκεν εἰς τὸ στόμα τοῦ δράκοντος καὶ φαγὼν διερράγη ὁ δράκων» (στ. 27). Ταῦτα ἐνεψύχουν τὴν Σεβαστιανὴν (βλέπ. § 21).

3. ὁπώς τινα ἰσχύσῃ ἐπίσημον ἰδεῖν=ὅπως δυνηθῇ νὰ ἴδῃ τινα (ἐκ τῶν παρισταμένων) ἐπίσημον λατ. ut aliquem inter illos deprehenderet ex magis conspicuis.

ἐξελθεῖν αὐτὸν πάντες ἐπτοήθησαν ἀπὸ τοῦ βρυγμοῦ αὐτοῦ, ὥστε φόβῳ δεδωκέναι καὶ αὐτὸν τὸν ἡγεμόνα. Ὡς ἠνεώχθη ἡ γαλλεότρα (1) μετὰ πολλῆς βίας ἐξῆλθεν ὁ λέων καὶ ἔρχεται πρὸς τὴν δικαίαν. Ἐπιστραφεῖσα δὲ ἡ ὁσία εἶδεν τὸν λέοντα τρέχοντα καὶ εἶπεν τῷ λέοντι· τί ἐσκύλλου καὶ ἐτάχυνας πρός με; Τότε ὁ λέων ἀποκριθεὶς ἀνθρωπίνῃ φωνῇ εἶπεν πρὸς τὴν δικαίαν. Ὦ νεο[σύλ]λεκτε τοῦ Χριστοῦ ὦ ἠμφιεσμένη δόξαν Θεοῦ, ὦ φύσις ἱερὰ ἐν πόθῳ τοῦ Χριστοῦ κατακεκοσμημένη, ὦ βλαστὸς ἀμάραντος ἐκ τῆς ἀμιάντου ἀμπέλου Χριστοῦ Ἰησοῦ προκόψασα! πῶς συνελήφθης μαθήτρια τοῦ ἀποστόλου Παύλου; ὦ διάκονε τοῦ Χριστοῦ, συμμέτοχε τῶν ἀγγέλων.

§ 20. Ἡ δὲ ὁσία εἶπεν τῷ λέοντι, πόθεν μὲ γινώσκεις; Ὁ δὲ λέων ἀποκριθεὶς εἶπεν· πλείσταις ἀρεταῖς κατακεκοσμημένη, σὲ ὁ ἅγιος Παῦλος οὐκ ἐβάπτισεν καὶ ἐμαθήτευσεν; Ἡ δὲ ὁσία εἶπεν πρὸς αὐτόν, μὴ ἆρα σὺ εἶ ὁ Παύλῳ συμμαχήσας; Ὁ δὲ λέων εἶπεν. Ἐγὼ εἰμι ὁ Παύλῳ ἀποστόλῳ συμμαχήσας, ὡς ἀνήρχετο ἀπὸ Φοινίκης. Νῦν οὖν, εἰ βούλει, δούλη τοῦ Χριστοῦ, ἵνα ἀνελθὼν ἀναλύσω Ἰουδαίων καὶ Ἑλλήνων πλῆθος; Ἡ δὲ ἁγία εἶπεν τῷ λέοντι, ἄφες αὐτούς· τυφλοὶ γάρ εἰσιν. Καὶ ἐπιστραφεὶς ὁ λέων εἶπεν τοῖς ὄχλοις, ἐπάρας τὸν δεξιὸν πόδα καὶ λέγων· Ἄνδρες καὶ γυναῖκες, οἱ δῆμοι τῆς πόλεως Ἡρακλείας, ἀκούσατε ζῴου ἀλόγου ἡμῶν λογικωτέρου. ἀκούσατε τύραννοι καὶ ἡγεμόνες, οἱ τὴν δικαίαν παραιτούμενοι, οἱ τῶν εἰδώλων ἔκδικοι καὶ τῆς δούλης τοῦ Χριστοῦ πολέμιοι καὶ τὸν ἄδικον ἡγεμόνα φοβούμενοι, νήψατε λοιπὸν πρὸς τὴν πίστιν τοῦ ἐσταυρωμένου, ἔλθετε εἰς φῶς ἔνδοξον, ἀνανήψατε ἐκ τῆς μέθης τοῦ διαβόλου (2).

---

1. γαλλεότρα, ἄγνωστος ἡ λέξις. βεβαίως σημαίνει κλωβόν ,ἔχει δὲ πρὸς τὸ γαλεάγρα ἢ γαλιάγρα ποιάν τινα σχέσιν καὶ ἐκεῖναι μὲν σημαίνουσι τὴν σύλληψιν τῶν ἀγρίων ζώων, ἡ δὲ γαλεότρα ἢ μᾶλλον γαλεόστρα τὸν περιορισμόν. Ὁ ἐκδότης ἐσημειώσατο: «vox hactenus mihi non inventa alibi. Hic aliud significare vix potest, quam caveam, ubi ferae aluntur» (σ. 13*).

2. Εἶναι ταῦτα τῶν παραδοξολόγων. Ἀλλὰ καὶ ἐν τῇ Π. Διαθήκῃ ἀναφέρονται τοιαῦτα. Μήτι δὲν ἐλάλησε ἡ ὄνος τοῦ μάντεως Βαλαάμ; Ὁ ἐκδότης ἀναφέρει τὰς «Πράξεις Παύλου καὶ Θέκλας», αἵτινες νῦν θεωροῦνται ἀπόκρυφοι καὶ ἄλλας μαρτυρίας. Ἡμεῖς περιοριζόμεθα εἰς μόνην τὴν ἀφήγησιν τοῦ ἱστορικοῦ τῆς Ἐκκλησίας Νικηφ. Καλλίστου περὶ τῆς ἐν Ἐφέσῳ θηριομαχίας τοῦ Παύλου ἐπὶ ἄρχοντος Ἱερωνύμου: «Λέων τοιγαροῦν μεγέθει μέγιστος καὶ τὴν ἀλκὴν ἀνυπόστατος κατ' αὐτοῦ ἀφεθείς, προσδραμὼν ἐν σταδίῳ παρὰ τοῖς ἐκείνου ποσὶν ἀνεκλίνετο. Πολλῶν δὲ καὶ ἄλλων ὠμῶν θηρίων ἀφιεμένων οὐδενὶ ψαύειν τοῦ ἱεροῦ ἐξῆν σώματος ἀνεστηλωμένου τῇ προσευχῇ. Τούτων δὲ οὕτω γενουένων ἀθρόον ῥοίζῳ πολλῷ σφοδρά τις καὶ

§ 21. Ταῦτα ἀκούσαντες οἱ δῆμοι τῆς πόλεως, οἱ μὲν ἔλεγον· ἀπόλυε τὴν δικαίαν· οἱ δὲ ἔλεγον φαρμακὴν αὐτὴν εἶναι. ὁ δὲ λέων πολλὰ εἰπὼν καὶ ὑποστρέψας πρὸς τὴν ἁγίαν ἦλθεν καὶ εἶπεν αὐτῇ: εἰρήνη σοι καὶ εὐθέως ἀνεκλίθη πρὸς τοὺς πόδας αὐτῆς καὶ ἀνέμενεν τὰ ἄλλα θηρία τὰ μέλλοντα ἀπολύεσθαι τῇ δικαίᾳ. Ὡς δὲ ἐφώνει ὁ κήρυξ καὶ ἐβόα ἡ σάλπιγξ, ἐκέλευσεν (ὁ ἡγεμὼν) ἀπολυθῆναι αὐτῇ λέαιναν παμμεγέθη. Ὡς δὲ ἐπῆρεν ὁ θηριοτρόφος τὸ πτερὸν (1) ἐξῆλθε λέαινα καὶ ὁ λέων ἀνέστη· ἦν γὰρ ἐκεῖνος πρὸς τοὺς πόδας τῆς ἁγίας. Ὡς ἤγγισεν ἡ λέαινα τῇ δικαίᾳ, ὁ λέων ὑπανεχώρησεν. Ἐλθοῦσα δὲ ἡ λέαινα προσεκύνησεν τὴν ὁσίαν εἰς πόδας αὐτῆς· καὶ ἦν ὁ λέων ἐκ δεξιῶν τῆς μάρτυρος καὶ ἡ λέαινα ἐξ εὐωνύμων. Τότε ἡ ἁγία εἶπεν. Εὐχαριστῶ σοι, Κύριέ μου Ἰησοῦ Χριστέ, ὅτι οὐκ ὑπερεῖδες τὴν ἐκ νεότητός σοι δουλεύσασαν. Εὐχαριστῶ σοι τὸ καλὸν ὄνομα τὸ αἰώνιον, τὸ διαμένον εἰς τοὺς αἰῶνας. Σὺ γάρ, Κυριέ μου Ἰησοῦ Χριστέ, ὁ ἐπὶ τοῦ δούλου σου Δανιὴλ τοὺς ἀγρίους λέοντας πραΰνας, σὺ εἶ, Κύριέ μου Ἰησοῦ Χριστέ, ὁ ἐπὶ τῶν τριῶν παίδων τὸ πῦρ μαράνας. σὺ εἶ, Κύριέ μου Ἰησοῦ Χριστέ, ὁ πραΰνων τὰ θηρία ταῦτα, ἵνα καὶ οὕτως ᾖ πεπωρωμένη αὐτῶν καρδία.

§ 22. Ὡς δὲ ταῦτα ηὔξατο ἡ ὁσία εἶπεν τοῖς θηρίοις· ἀπέλθετε μετ' εἰρήνης καὶ μηδένα βλάψατε. Ὡς δὲ εἶδον οἱ ὄχλοι τὴν ὁρμὴν τῶν θηρίων, ἔφυγον πάντες, ὡς καὶ τὸν ἡγεμόνα δειλιᾶσαι καὶ φυγεῖν μετὰ τῆς τάξεως(2) αὐτοῦ καὶ λέγειν τοῖς συμβούλοις αὐτοῦ· τί θέλει εἶναι ἡ γυνὴ αὕτη; Οἱ δὲ λέγουσιν αὐτῷ· ἴδε πῶς καὶ τὰ θηρία αἱ μαγεῖαι αὐτῆς ἐφίμωσαν καὶ οὐδὲν τῶν βασάνων ἥψατο αὐτῆς καὶ πάντες ἐπέταξεν(3). Εἰ θέλεις ποιῆσαι τὸν κανόνα(4) τῶν

---

ὑπερφυὴς χάλαζα καταρραγεῖσα συνέθλα μὲν πολλῶν ἀνδρῶν κεφαλάς, οὐχ ἥκιστα δὲ καὶ θηρίων· καὶ αὐτοῦ δὲ τοῦ Ἱερωνύμου μία φθάσασα ἀποκνίζει τὸ οὖς. κἀντεῦθεν μετὰ τῶν σὺν αὐτῷ τῷ Παύλου Θεῷ προσιὼν τὸ σωτήριον ἐδέξατο βάπτισμα. Ὁ δὲ λέων φυγὰς εἰς ὄρη διέδρα. καὶ Παῦλος ἐκεῖθεν εἰς Μακεδονίαν καὶ Ἑλλάδα κατέπλει Εἶτ' αὖθις διὰ Μακεδονίας ἐλθὼν εἰς Τρῳάδα καὶ εἰς Μίλητον ἦλθε· κἀκεῖθεν ἐστέλλετο εἰς Ἱεροσόλυμα. Εἰ δὲ Λουκᾶς μὴ ταῖς λοιπαῖς πράξεσι καὶ τὴν θηριομαχίαν ταύτην ἱστόρησε, θαυμαστὸν οὐδέν Οὐδὲ γὰρ ἀμφισβητεῖν δεῖ, ὅτι μόνος τῶν εὐαγγελιστῶν Ἰωάννης τὴν τοῦ Λαζάρου ἔγερσιν διηγήσατο» (Ἐκκλ. ἱστορ. II, κε'. Migne. Patr. gr. 145, στ. 820—824.)

1. πτερόν, πολυσήμαντος ἡ λέξις ἐνταῦθα σημαίνει τὸν μοχλόν.

2. τάξις, τὸ τάγμα, cohors.

3. Πάντας ἐπέταξεν, ἐξεμηδένισεν, ὁ μεταφρ. Λατῖνος: omnibus superjor est.

4. τὸν κανόνα, praescripta, τὰ διατεταγμένα. ἐπὶ τοιαύτης ἐννοίας κεῖται εἰς τὰς μονὰς ἡ λ.

σεβαστῶν καὶ ἑαυτὸν ἀμέριμνον ποιῆσαι, τραχηλοκόπησον αὐτήν. Ὡς δὲ τὰ θηρία ἀνεχώρησαν καὶ οἱ δῆμοι ἔφυγον, εἶπεν ἡ ὁσία τοῖς ἀδελφοῖς τῆς ἁγίας ἐκκλησίας· ἦλθε τὸ πλήρωμα τῆς ἀθλήσεώς μου, εἰρήνη ὑμῖν. Τότε ὁ ἡγεμὼν ἐξαπέστειλεν στρατιώτας ἀγαγεῖν τὴν ὁσίαν. Εὐχομένης δὲ αὐτῆς, ἐπέστησαν οἱ στρατιῶται ἐν τῷ σταδίῳ καὶ εἶπον αὐτῇ. Ἔνδοξε στρατιώτη τοῦ Χριστοῦ, κελεύει ὁ ἡγεμὼν [ἀχθῆναί σε]. Εἶπεν δὲ ἡ ἁγία τοῖς ἀδελφοῖς· ὁ Θεὸς μεθ' ὑμῶν. Εἶπεν δὲ πάλιν ἡ ὁσία· «ἐλάλουν ἐναντίον βασιλέων καὶ οὐκ ᾐσχυνόμην». Πομπιανὸς ἡγεμὼν εἶπεν· διατί ἀπονενόησαι, Σεβαστιανὴ καὶ σπεύδεις ἐπὶ τὸν θάνατον; Ἡ ἁγία Σεβαστιανὴ εἶπεν· ἐγὼ θάνατον οὐ ζητῶ, ἀλλὰ ζωὴν αἰώνιον.

§ 23. Ταῦτα ἀκούσας ὁ ἡγεμὼν ἐκέλευσεν ἀναγνωσθῆναι τὰ ὑπομνήματα αὐτῆς καὶ ἀπεφήνατο (1) ὁ ἡγεμὼν κατ' αὐτῆς θεσμοφέρων οὕτως: «Σεβαστιανὴν εὑρεθεῖσαν ἀκαθοσίωτον, ὥστε μήτε Σεβαστῷ θέλουσαν πεισθῆναι, μήτε τοῖς δικαίοις θεοῖς, ἀλλὰ πανταχόθεν αὐτὴν ἀξίαν θανάτου καταστᾶσαν, ἐκέλευσεν τὸ ἡμέτερον δικαστήριον, ταύτην ξίφει ἀποτμηθῆναι». Λαβοῦσα δὲ ἡ ἔνδοξος μάρτυς τὴν ἀπόφασιν μετὰ χαρᾶς ἐξῄει ἐπὶ τὸν προκείμενον ἀγῶνα τοῦ μαρτυρίου καὶ πλήθη πολλὰ συνηκολούθησαν αὐτῇ πενθοῦντες, ὅτι τοιαύτη διάκονος Χριστοῦ μέλλει ἀποθνήσκειν. Ἐπιστραφεῖσα ἡ μακαρία λέγει πρὸς αὐτούς· μὴ κλαίετέ με, ἀλλὰ μᾶλλον ἀγαλλιᾶσθε καὶ στήκετε ἐν τῇ πίστει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὡς οὖν ἐξῆλθεν τῆς πόλεως ἀπὸ σταδίων δύο, ἔστη κατὰ ἀνατολὰς καὶ ηὔξατο (2) λέγουσα· Κύριε Ἰησοῦ Χριστέ, φώτισόν μου τὴν ψυχήν. ἐν τῷ φρονήματί σου νοῦν ἔσχηκα, κατάστησον ἐρχομένην πρὸς σέ, κατάρτισαί μου τὴν ὁδόν, ἣν πρὸς σὲ ἔχω Χριστέ. Κύριε, ὁδηγός μου γενοῦ ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου. Ὡς δὲ ηὔξατο ἡ ὁσία καὶ πάντες εἶπον τὸ Ἀμήν, παρέδωκεν τῷ δημίῳ τὴν κεφαλήν. Ὁ δὲ μιᾷ πληγῇ διῇρεν τὴν κεφαλὴν ἀπὸ τοῦ σώματος καὶ ἐτελείωσεν τὴν ἁγίαν καὶ ***ἀντὶ αἵματος γάλα ἔῤῥευσεν***· ὥστε γνόντα τὸν ἄδικον κριτὴν κελεῦσαι βυθῷ θαλάσσης παραδοθῆναι αὐτὴν καὶ κλεισθῆναι ἐν σάκκῳ σὺν τῇ κεφαλῇ καὶ μόλυβδον δεθῆναι ἀπὸ τοῦ σάκκου λιτρῶν τριακοσίων καὶ οὕτως ἐμβληθῆναι αὐτὴν εἰς τὴν θάλασσαν.

§ 24. Ὡς δὲ ἐδέξαντο οἱ ναῦται τὴν ὁσίαν ἐν τῷ πλοίῳ, οἱ Χριστιανοὶ οὐ μικρὸν κοπετὸν ἐποιήσαντο, ὥστε γενέσθαι φωνὴν ἐκ τοῦ σώματος τῆς ὁσίας, λέγουσαν· μὴ κλαίετε· ***ἔστι γὰρ ἡ κατάπαυσίς***

---

1. ἀπεφύσατο (!)

2. ηὔξετο, καὶ προηγουμένως οὕτως, ὅπερ διωρθώσαμεν ηὔχετο.

***μου ἐν Ῥησιστῷ*** (1), ***ἐν τῷ τόπῳ ἐπισήμῳ καὶ προεγνωσμένῳ ὑπὸ τοῦ Θεοῦ. ἐν*** <τῷ> ***τόπῳ ἡγιασμένῳ.*** Σιωπῆς δὲ γενομένης, ἀπέπλευσαν οἱ ναῦται ἐν τῷ πλοίῳ καὶ τοσαύτη εὐωδία ἐγένετο ὡς μυροθηκῶν ἀρωμάτων ἄγγος, ὥστε τοὺς ναύτας φοβηθῆναι τὴν στρατιὰν τοῦ οὐρανίου Θεοῦ. Μὴ βουλόμενοι οὖν ἆρα τὴν ὁσίαν καὶ ῥίψαι εἰς τὴν θάλασσαν, ἦλθεν φωνὴ λέγουσα αὐτοῖς τὸ κελευθέν (2) αὐτοῖς ποιῆσαι. Καταπλαγέντες δὲ τὴν φωνὴν οἱ ναυτικοὶ ἦραν τὴν ἁγίαν καὶ ἔρριψαν εἰς τὴν θάλασσαν καὶ μόλυβδος ἐλύθη ἀπὸ τοῦ σάκκου· τὴν δὲ ἁγίαν ῥιφθεῖσαν ἐν τῇ θαλάσσῃ εὐθέως ἐδέξαντο αὐτὴν τρεῖς ἄγγελοι λευκοφοροῦντες καὶ ἤγαγον αὐτὴν ***ἐν τόπῳ λεγομένῳ Ῥησιστῷ ἐγγὺς τῆς συναγωγῆς τῶν Ἑβραίων.***

§ 25. Μία δὲ συγκλητικὴ ὡς ἤκουσεν τῆς δικαίας ἐν Ῥησιστῷ γενέσθαι τὴν κατάπαυσιν, βαλοῦσα ἑαυτὴν εἰς πλοῖον μετὰ πίστεως πολλῆς συντετύχηκεν τῷ ἁγίῳ λειψάνῳ, ὅπερ λαβοῦσα μύροις πολυτίμοις καταχρίσασα καὶ ἱματισμῷ πολυτελεῖ κατακοσμήσασα καὶ ὀθονίῳ τιμίῳ ἐγκυλίσασα ***ἔθηκεν ἰδίῳ τόπῳ καλλίστῳ ἐν Ῥησιστῷ, ἐν τόπῳ ἐπισήμῳ πρὸς βοήθειαν τῶν καταπονουμένων καὶ πλεόντων, εὔδιον λιμένα καὶ ἀσθενῶν τὸ ἰατρεῖον.*** Τοιοῦτον δρόμον δραμοῦσα ἡ ὁσία μάρτυς ἀμέμπτως κατέλιπεν ἡμῖν σκέπην ἑαυτήν, τοῦτο τὸ συνάλλαγμα πραγματευσαμένη, ἵνα μνημονεύοντες τύχωμεν τοῦ ὁμοίου στεφάνου παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. «ἐν Ῥίσις, τῷ τόπῳ ἐπισήμῳ» βλ. καὶ πάλιν «ἐν τόπῳ λεγομένῳ Ῥίσις, τῷ ἐγγὺς τῆς συναγωγῆς τῶν Ἑβραίων». καὶ ἐν τῇ ἑπομένῃ παραγράφῳ: «ἔθηκεν ἰδίῳ τόπῳ καλλίστῳ ἐν Ῥίσις, τῷ ἐν τόπῳ ἐπισήμῳ». Καὶ ἐν ταῖς τρισὶ ταύταις φράσεσιν ἐγένετο κακὴ στίξις καὶ ἐχωρίσθη ἡ τελευταία συλλαβὴ τοῦ γεωγραφικοῦ ὀνόματος συνδεθεῖσα μὲ τὰ ἑπόμενα καὶ οὕτω προῆλθεν ἀνύπαρκτον ὄνομα Ῥίσις ἐπαναλαμβανόμενον ἀκλίτως, ἡ δὲ τελευταία αὐτοῦ συλλαβὴ τῷ χωρισθεῖσα πλεονάζει καὶ εἰς τὰς τρεῖς φράσεις. ***Τὸ ὀρθὸν ἆρα εἶναι Ῥοσιστός, ἐν ᾧ ἔχομεν ἀρκετὸν τύπον τῆς πόλεως Ῥαιδεστός*** (κοινῶς Ροδοστὸ ἢ Ροδοστός). Περὶ τοῦ ὀνόματος τούτου γράφομεν τὰ δέοντα ἐν τῷ προλόγῳ.

2. κελευθέν, ἀντὶ τοῦ ἐπικρατήσαντος τύπου κελευσθέν. ἀλλὰ καὶ παρὰ Διον. Ἁλικ. Ι, 84 ἐκελεύθην.

ΚΑΡΟΛΟΥ ΛΕΜΑΝ

Καθηγητοῦ εἰς τὸ Ἰνστιτοῦτον Καλῶν Τεχνῶν τοῦ Πανεπιστημίου
τῆς Νέας Ὑόρκης

---

# ΣΑΜΟΘΡΑΚΗ

## ΟΔΗΓΟΣ

## ΔΙΑ ΤΑΣ ΑΝΑΣΚΑΦΑΣ ΚΑΙ ΤΟ ΜΟΥΣΕΙΟΝ

Μετάφρασις ἐκ τοῦ Ἀγγλικοῦ
ΧΡ. Ι. ΑΠΟΣΤΟΛΙΔΗ

## ΑΝΤΙ ΠΡΟΛΟΓΟΥ

